ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ

ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΡΗ-

ΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ

Νύσσης περὶ παρθενίας.

D. PATRIS GREGORII

NYSSENI ANTISTITIS DE

VIRGINITATE LIBER:

Græcè & Latinè nunc primùm editus, Interprete

IOHANNE LEVINEIO GANDENSI.

Additæ sunt ad calcem Notæ, eodem auctore, quibus partim emendationum ratio redditur, partim loca quædam illustrantur.

ANTVERPIÆ.

Ex officina Christophori Plantini,
Architypographi Regij.

cIↃ IↃ LXXXIIII.

REVERENDISSIMO ATQ.
ILLVSTRISSIMO PRINCIPI
ac Domino D. Gerardo à Groisbeeck Episcopo Leodiensi, Duci Bullonensi, Comiti Lossensi, Marchioni Francimontano, sacri Romani Imperij Principi, Iohannes Lauretius S. P.

CVM hanc D. Gregorij Nysseni Antistitis de virginitate commẽtationem, à me in Latinum sermonem conuersam, in lucem emitterem, illustrissime Præsul, visum est duabus ferè rationibus id quicquid est laboris atq; industriæ tuo nomini consecrandum. Primùm, quòd viri sanctissimi, & summæ in Ecclesia dignitatis, de re omniũ pulcerrima ac sanctissima, & Christianis hominibus propria, disputatio, nulli conuenientiùs offerri posse videretur, quàm ei qui & ipse locum in Ecclesia principem summa cum laude atque auctoritate nominis teneret. Deinde, quòd hoc opusculi tibi tuo quodam iure vindicares. Nam cùm Læuinus Torrentius V. C. Mæcenas idemque auunculus meus, legatus ad Pontificem à te Romam mitteretur, oblata hac optima bene de Græcis litteris & studiosis merendi occasione, ratus Bibliothecam Vaticanã à veteribus libris tam instructam, huius eloquentiss-

simi scriptoris operibus carere nullo modo posse, facilè impetraui vt eum librum cõferri cum alio exemplari curarer, præsertim cùm haud dubijs argumentis deesse in nostrũ nõnulla deprehendissem, & multa vitiosè, quędam etiam mutilè exarata essent. Neque ea res frustra fuit. Namque ex codice Vaticano addita sunt in fronte vnà cum auctoris præfatione, prima quinque capita, & totidem ad libri calcem. reliqua vel ex vtriusque exemplaris comparatione sunt à nobis castigata, vel diligenti cogitatione, & manifesta ratione, conjecturis quoque, quas sępissimè ad veritatem dirigere, cùm auctor est Cicero, tùm nos quoque in fragmento hoc nostro sumus experti, emendata. Quę commoditates animũ nobis addiderunt, vt quę nostrę essent partes, interpretationẽ quoq; adhiberemus quam possemus accuratissimam, quò esset hic noster labor atq; industria plausibilior. Interpretandi autem genus id sumus amplexi, quod litteratissima hac tempestate & doctissimus quibusque probaretur, & vir ornatissimus Petrus Ximenius, quẽ et honoris causa, et quia tu meritò eum plurimi facis, nominandum hoc loco mihi putaui, cùm ab eo Græcè discerẽ, solitus esset commendare, vt nec sensum tantùm contẽtu reddidisse, quod video multos facitare, de Græcorum verborum proprietate ac vi exprimenda parum labora-

ized by Google

boraremus, nec rurſum, quã in partem multo plurimi peccant, nullo verborum dilectu, nimia quadam religione & putida verbũ verbo vertendi curioſitate, Latini ſermonis maieſtatẽ imminueremus, & eloquentiæ quaſi neruos incideremus: ſed quam minimùm fieri poſſet ab auctoris verbis recederemus, & orationi tamen ornatum, & ſuos tanquam flores non deriperemus. Atque hæc quidẽ nolim à me ita dicta exiſtimari, quaſi in hoc libro ea pollicerer, aut præſtitiſſe gloriarer. nam & ætas noſtra, & multarũ rerum imperitia id facilè prohibẽt. ſed velut ſimulacrum quoddam atque effigiem optimę de Gręcis conuertẽdi rationis leuiter inumbratam propoſui, quò ad laudem tendentibus contẽtio omnis ac ſtudium conferendum ſit. Qua ſanè in parte vt arrogare mihi nihil poſſum, ita libenter confiteor, adhibitã à me operam, vt attingerẽ ſaltem, & tanquam à longinquo, quod aiunt, ſalutarem ταύτην τὴν τελειότητα, ad quam non niſi viri quidam magni & ſummo ingenio prędíti, eſſent admiſſi: quorum in numero ingens Galliarum lumen Adrianus Turnebus familiam ducere mihi videtur. Atq; hoc quidem eſt conſilium noſtrũ. Vtinam verò homines quidam noſtri quàm neceſſaria ſunt quæ à grauiſſimo auctore ſapientiſſimè diſſeruntur, tam ſtudioſè amplectantur. Haberemus certè Eccleſiæ faciem, ſi non optimam,

Digitized by Google

mam, at certè odiis atq; iniuriis aduerſariorum impendio minus obnoxiā. Tribues autem hoc nobis, Illuſtriſſime Prǽſul, beneficij, vt quātum huic operi auctoritatis ab annis noſtris decedit, tantum tui nominis ſplendore ac gloria reponere digneris. Ita, ſpero equidem, dabunt æqui lectores creſcendi locum, & quæ reliqua eiuſdem auctoris grauiora, Deo fortunante, in poſterum molimur, fortaſſe maiori aliqua ſpe eruditionis ac ingenij expectabunt. Bene vale, Princeps Illuſtriſſime, & hoc quicquid eſt opellæ, æqui & boni conſule.

A D.

oogle

AD LECTOREM.

DAMVS, Candide Lector, in lucem eruditissimum D. Gregorij Nysseni, Basilij Magni fratris, de Virginitate librum, à nobis summa contentione ac industria partim ex duorum manuscriptorum codicum fide, Vaticano vnà, altero quod à Bircmanno Colonensi Typographo habuimus, & fragmentum tantum fuit, si minus suo ac pristino nitori, at proximè tamen restituentum. In quo hæc à nobis seruata ratio est. Capita quinque prima, vnà cum auctoris præfatione, & totidem extrema, bona fide vt Roma ad nos allata sunt, edidimus: in cæteris, nisi quòd capitum distinctionem Vaticanam in textum recepimus, nostram in margine, si cubi discordabat, annotauimus, id quod nè temerè à nobis factum sit, fragmentum nostrum sumus sequuti, quòd commodius id nobis videretur. Quoniam verò partim doctissimus Guilielmus Canterus emendationes quasdam nobis cum communicauerat, partim ipsi diligenti cogitatione multis locis veram lectionem coniectura tramus consequuti, priusquam libellum eum Romam mitteremus, ne virum optimum sua laude fruſtraremur, & simul vt illustre quoddam exemplum proponeremus ἐυεργέτου, cum sane hominis quidam pertinacis nimium parum tribuere mihi videntur, fecimus equidem libenter, vt eas ad margines Græcis exemplaris adderemus. Eadem ratio est & in nostris, quæ cùm bona ex parte Vaticani codicis fide confirmatur, tùm in Notis, si cubi ea desituerimur, ratione constabiluntur. In cæteris quid à nobis præstitum sit, tuum, Candide Lector, iudicium sit. Vale.

DIVI

1 # ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ
ἡμῶν Γρηγορίου ἐπισκόπου Νύσσης

Ἐπιστολὴ προτρεπτικὴ εἰς τὸν κατ' ἀρετὴν βίον·

περὶ παρθενίας.

Ὁ ΜΕΝ σκοπὸς τοῦ λόγου ἐστὶν, ἐπιθυμίαν τῆς κατ' ἀρετὴν
ζωῆς τοῖς ἐντυγχάνουσιν ἐμποιῆσαι πολλῶν
2 δὲ τῷ κοινοτέρῳ βίῳ, * καθὼς ὀνομάζει ὁ
θεῖος ἀπόστολος, τῶν περισπασμῶν ἐγκεχυμένων,
ἀναγκαίως ὁ λόγος ὥσπερ τινὰ θύραν καὶ
εἴσοδον τῆς σεμνοτέρας διαγωγῆς, τὸν τῆς παρθενίας ὑποτίθεται βίον.
ὡς οὔτε τοῖς ἐμπλακεῖσι τῇ τοῦ βίου κοινότητι ῥᾴδιον ὂν, καθ' ἡσυχίαν
προσφιλοσοφεῖν τῇ θειοτέρᾳ ζωῇ, καὶ τοῖς ἀποταξαμένοις πάντῃ τῷ
ταραχώδει βίῳ, πολλῆς εὐκολίας οὔσης τοῖς ὑψηλοτέροις ἀσχολίαις
παρεδρεύειν ἀπερισπάστως· καὶ ἐπειδὴ καθ' ἑαυτήν πως ἀργοτέρα
πρὸς τὸ πειθὲν ἐστὶν ἡ συμβουλή, καὶ οὐκ ἄν τις ῥᾳδίως ὑπαγάγει
τινα, ψιλῷ τῷ λόγῳ πρός τι τῶν ὠφελίμων ἐγκελευόμενος,
Castiga [illegible] εἰ μὴ πρότερον ἀποσεμνύνειεν ἐκεῖνο, πρὸς ὃ τὸν ἀκροατὴν
παρορμᾷ, τούτου χάριν ἀπὸ τῶν ἐγκωμίων τῆς παρθενίας ἀρξάμενος,
οὕτως εἰς τὴν συμβουλὴν καταλήγει. μᾶλλον δέ πως τοῦ ἐν
ἑκάστῳ καλοῦ καὶ διὰ τῆς παραθέσεως τῶν ἐναντίων φανερουμένου,
ἀναγκαίως καὶ τῆς δυσχερείας τοῦ κοινοτέρου βίου μνήμη τις γέγονεν. εἶτα
διεξοδικῶς ὑπογραφή τις παρεισήχθη τοῦ κατὰ φιλοσοφίαν βίου,
καὶ τὸ μὴ δύνασθαί τινα τυχεῖν τὸν ἐν κοσμικοῖς ἐνταῦθα φροντίσιν,
κατεσκιάσθη. τῆς δὲ σωματικῆς ἐπιθυμίας ἀργούσης ἐν τοῖς ἀποταξαμένοις,
ἀκολούθως ἐπεζητήθη τί τὸ ἀληθῶς ἐπιθυμητόν. οὗ
χάριν

DIVI PATRIS GREGORII NYSSENI ANTISTITIS DE VIRGINITATE LIBER.

Epiſtola exhortatoria ad frugi vitam.

SCOPVS orationis eſt, lectoribus frugi vitæ amorē concitare. Cùm autem in communiori illa, vt diuinus Apoſtolus vocat, multæ inſint diſtractiones, neceſſariò velut oſtiū quoddā atq; ingreſſum auguſtio-
is vitæ, virginitatis ſtudiū ſubiecimus. quando nec fa-
ile eſt iis qui cōmunione ea vitæ implicētur, diuiniori illa
uietè perfungi, & qui à perturbatiori hac vndiq; ſe re-
perint, ij facile ſublimioribus ſtudiis aſſiduè inhærent.
Quoniam verò conſiliū per ſe minus efficax eſt ad per-
iadendū, nec temere aliquem præcipiendis tantum quæ
e vſu ſint, inducas, niſi id prius amplifices ad quod au-
torem inſtiges, ea gratia à virginitatis laudibus
orſi, in conſilium deſumus. Porro autem cū cuiuſque
i præſtantia magis ex contentione rerum quæ depu-
ent eluceat, neceſſariò etiam ærumnarum communis
ita mentionem fecimus. Tum bono ordine deſcriptio
iadam vitæ ſecundū Philoſophiā producta eſt, & illud
nſtitutū, qui in mundanis curis verſetur, eū eius cōpo-
fieri non poſſe. Iā verò corporali cupiditate in iis qui ſe
b his noſtris abducāt extincta, cōſequēter quid ſit quod
erè expetendū ſit, cuius gratia vim eā qua appetamus

[illegible]

χαίρειν καὶ τὴν *δύναμιν παρὰ τοῦ δημιουργοῦ τῆς φύσεως ἡμῶν ἐλάβομεν. τούτου δὲ καθ' ὅσον οἷόν τε ἦν ἐκκαλυφθέντος, ἐφάνη ἀκολούθως καί τινα μέθοδον πρὸς τὸ τυχεῖν τούτου ἐπινοῆσαι τοῦ ἀγαθοῦ. εὑρέθη ταύτην ἀληθὴς παρθενία, ἡ παντὸς τοῦ ἐξ ἁμαρτιῶν μολυσμοῦ καθαρεύουσα, πρὸς τὴν τοιαύτην ἐπίνοιαν ἐπιτηδείως ἔχουσα. ὥστε πάντα τὸν διὰ μέσου λόγον, κἂν πρὸς ἕτερά τινα βλέπειν δοκῇ, πρὸς τὸ τῆς παρθενίας συντείνειν ἐγκώμιον. τὰς δὲ μερικὰς ὑποθήκας τοῦ τοιούτου βίου, ὅσαι τοῖς ἀκριβῶς μελετῶσι τὴν σεμνότητα ταύτην, ἐπετηδεύθησαν, φεύγων τὴν ἀμετρίαν ὁ λόγος παρέδραμε, καθολικῶς τε διὰ τῶν γενικωτέρων παραγγελμάτων προσαγαγὼν τὴν παραίνεσιν, ἐμπεριείληφε τρόπον τινὰ τὰ καθέκαστον. ὡς μήτε τι παρελθεῖν τῶν ἀναγκαίων, καὶ τὴν ἀμετρίαν φυλάξασθαι. ἔθους δὲ πᾶσιν ὄντος, προθυμότερον ἀντιλαμβάνεσθαι παντὸς ἐπιτηδεύματος, εἴ τινας ἐν ἐκείνῳ

[illegible]

*προευδοκιμήσαντας ἴδοι, ἀναγκαίως καὶ τῶν ἐν ἀγαμίᾳ διαλαμψάντων ἁγίων μνήμην ἐποιησάμεθα· καὶ ἐπειδὴ μὴ τοσοῦτον τὰ ἐν τοῖς διηγήμασιν ὑποδείγματα δύναται πρὸς κατόρθωσιν ἀρετῆς, ὅσον ἡ ζῶσα φωνὴ, καὶ τὰ ἐνεργούμενα τῶν ἀγαθῶν ὑποδείγματα, ἀναγκαίως πρὸς τῷ τέλει τοῦ λόγου, τοῦ θεοσεβεστάτου ἐπισκόπου καὶ πατρὸς ἡμῶν ἐπεμνήσθημεν, ὡς μόνου δυνατοῦ ἔχοντος τὰ τοιαῦτα παιδεύειν. ἡ δὲ μνήμη οὐκ ἐπ' ὀνόματος γέγονεν, ἀλλὰ διά τινων γνωρισμάτων τὸ, ἐκεῖνον εἶναι τὸν δηλούμενον ὁ λόγος ἠνίξατο· ἵνα μὴ τοῖς μετὰ ταῦτα καθομιλοῦσι τῷ λόγῳ ἄχρηστος ἡ συμβουλὴ εἶναι δόξῃ, τῷ παρελθόντι τὸν βίον προσφοιτᾶν τοὺς νέους ἐγκελεύουσα, ἀλλὰ πρὸς τοῦτο βλέποντες μόνον, οἷον εἶναι προσήκει τὸν τοιούτου βίου

καθηγη-

ab opifice natura noſtra acceperimus, quæſitū eſt. Eo quātū eius fieri potuit explicato, venit porrò excogitāda aliqua ratio conſequendi illius boni. Itaq; reperta eſt vera virginitas, quæ quidē pura ſit ab omni flagitiorū inquinamento, & cōprehendendo opportuna. Ita omnis ea quæ interjicitur diſputatio, etſi aliò ſpectare videtur, ad virginitatis laudem pertinet. Præcepta verò illa eius vita particularia, quæ qui auguſtū hoc ſtudium accuratè perſequantur exerceāt, qui prolixitatē fugeremus, præterijmus, & generalioribus quibuſdā producendis, generali exhortatione inſtituta, ſingula pene complexi ſumus, vt nec prætermiſſum ſit aliquid quod neceſſarium videretur, & prolixitas vitata. Ac cùm id omniū ingeniū ſit, facilius vt ea ſtudia arripiant, in quibus præluxiſſe aliquos videant, neceſſariò etiam cælibatu illuſtrium ſanctorum meminimus. Sed quoniam exempla quæ commemorentur non perinde valent ad excolendam virtutem, ac viua vox, & viuida bonorum virorū exempla, neceſſariò ſub extremam orationem pijſſimi patris ac Antiſtitis facta mentio eſt; vtpote qui ea nos docere ſolus poſſit. facta eſt autem non quidem nominatim, ſed notis quibuſdam eum eſſe qui ſignificaretur innuimus. ne qui in poſterum orationem hanc tractarent, iis conſilium hoc quo adoleſcentes cohortemur ad frequentandum vita functum, inutile videretur, ſed illud tantùm ſpectantes, qualis eſſe debeat eius vita

ante-

καθηγητὴν, ἐκλέγονται ἑαυτοῖς εἰς ὁδηγίαν τοὺς ἀεὶ παρὰ τῆς τοῦ θεοῦ χάριτος εἰς προστασίαν τῆς κατ' ἀρετὴν πολιτείας ἀναδεικνυμένους· ἢ γὰρ εὑρήσουσι τὸν ζητούμενον, ἢ οἷον χρὴ εἶναι οὐκ ἀγνοήσουσιν· ἡ δὲ ἀκολουθία τῶν νοημάτων ἐστὶν αὕτη.

α' ὅτι κρείττων ἐγκωμίων ἡ παρθενία.
β ὅτι ἴδιον τῆς θείας τε καὶ ἀσωμάτου φύσεως κατόρθωμά ἐστιν ἡ παρθενία.
γ' μνήμη τῶν ἐκ τοῦ γάμου δυσχερῶν· καὶ ἔνδειξις τοῦ, τὸν γεγραφότα τὸν λόγον μὴ ἄγαμον εἶναι.
δ' ὅτι πάντα τὰ κατὰ τὸν βίον ἄτοπα τὴν ἀρχὴν ἀπὸ τοῦ γάμου ἔχειν ἐν ᾧ τε οἷος ὁ κατὰ ἀλήθειαν ἀποταξάμενος τῷ βίῳ ἐστίν.
ε' ὅτι προηγεῖσθαι χρὴ τὴν τῆς ψυχῆς ἀπάθειαν τῆς σωματικῆς καθαρότητος.
ϛ' ὅτι ἠλίας καὶ ἰωάννης τῆς ἀκριβείας τοῦ βίου τούτου ἐπεμελήθησαν.
ζ ὅτι οὐδὲ ὁ γάμος τῶν κατεγνωσμένων ἐστίν.
η ὅτι δύσκολόν ἐστι τοῦ σκοποῦ τυχεῖν τὸν εἰς πολλὰ τῇ ψυχῇ μεριζόμενον.
θ' ὅτι δυσμετάθετον ἐπὶ παντός ἐστιν ἡ συνήθεια.
ι' τί τὸ ἀληθῶς ἐπιθυμητόν.
ια' πῶς ἄν τις ἐν περινοίᾳ γένοιτο τοῦ ὄντως καλοῦ.
ιβ' ὅτι ὁ ἑαυτὸν ἐκκαθάρας, ἐν ἑαυτῷ τὸ θεῖον κάλλος κατόψεται· ἐν ᾧ καὶ περὶ τῆς τοῦ κακοῦ αἰτίας.
ιγ' ὅτι ἀρχὴ τῆς ἑαυτοῦ ἐπιμελείας ἡ ἀπαλλαγὴ τοῦ γάμου ἐστίν.

anteſignanus, eos duces ſibi delegat, quos perpetuò Deus Opt. Max. frugi vitæ antiſtites quoſdam comparet. aut enim quem quærant inuenient, aut cuiuſmodi eſſe debeat non ignorabunt. Ac ſeries quidem inuentorum hæc eſt.

1. *Virginitatem omni laude ſuperiorem eſſe.*
2. *Virginitatem propriam eſſe functionem diuinæ atq; incorpoream naturæ.*
3. *Recenſio malorum Matrimonij. & auctorem libri celibem non fuiſſe.*
4. *Omnem vitæ abſurditatem à Matrimonio duci, & cuiuſmodi ſit qui verè vitæ nuncium dixerit.*
5. *Præcedere oportere animi affectuum vacuitatẽ corporis caſtitatem.*
6. *Eliam ac Iohannem ei vitæ accurationi operam dediſſe.*
7. *Nec Matrimonium eſſe in rebus damnatis.*
8. *Qui animum ſu res multas diſtribuat, eum non facile ſcopum conſequi.*
9. *Conſuetudinem vllius rei difficulter deponi.*
10. *Quid ſit quod verè expetendum ſit.*
11. *Qua ratio ſit comprehendendi veri boni.*
12. *Qui ſe expurget, eum diuinam pulchritudinem in ſe conſpecturum. & qua mali cauſa ſit.*
13. *Matrimony fugam initium eſſe procurationis ſui ipſius.*

ιδ' ὅτι ἡ παρθενία κρείττων τῆς τοῦ θανάτου δυναστείας ἐστίν.

ιε' ὅτι ἡ ἀληθὴς παρθενία ἐν παντὶ ἐπιτηδεύματι θεωρεῖται.

ις' ὅτι τὸ ὁπωσοῦν ἔξω γενέσθαι τῆς ἀρετῆς, ἴσον κίνδυνον ἔχει.

ιζ' ὅτι ἀτελὴς εἰς τὸ ἀγαθὸν, ὁ καὶ ἐπί τινι τῶν κατ' ἀρετὴν ἐλλείπων.

ιη' ὅτι χρὴ πάσας τὰς τῆς ψυχῆς δυνάμεις πρὸς ἀρετὴν βλέπειν.

ιθ' μνήμη μαρίας τῆς ἀδελφῆς ἀαρὼν, ὡς ἀρξαμένης τούτου τοῦ κατορθώματος.

κ' ὅτι ἀδύνατον ταῖς σωματικαῖς ὁμοῦ ὑπηρετεῖν ἡδοναῖς, καὶ τὴν κατὰ θεὸν εὐφροσύνην καρποῦσθαι.

κα' ὅτι χρὴ τὸν ἀκριβῶς ζῆν προελόμενον, πρὸς πᾶν εἶδος σωματικῆς ἡδονῆς ἀλλοτρίως ἔχειν.

κβ' ὅτι οὐ δεῖ πέρα τοῦ δέοντος ἀσκεῖν τὴν ἐγκράτειαν· καὶ ὅτι ὁμοίως ἐναντιοῦται τῇ ψυχῇ πρὸς τελείωσιν ἥτε πολυσαρκία τοῦ σώματος, καὶ ἡ ἀμέτρητος κακοπάθεια.

κγ' ὅτι χρὴ τὴν ἀκρίβειαν τοῦ βίου τούτου μαθεῖν βουλόμενον παρὰ τοῦ κατορθώσαντος διδάσκεσθαι.

κεφ. α'.

14. *Virginitatem exemptam esse mortis dominio.*
15. *In omni studio veram virginitatem intelligi.*
16. *Quouis modo virtute excidas, par periculum esse.*
17. *Aequè imperfectum esse in bono, cui ad vllam virtutem aliquid desideretur.*
18. *Oportere omnes animi vires ad virtutem spectare.*
19. *Mentio Mariæ Aharonis sororis, velut auspicis praclara huius functionis.*
20. *Fieri non posse vt corporis voluptatibus simul seruias, & diuinum gaudium percipias.*
21. *Oportere eum qui accurate viuere instituat, ab omne genus corporali voluptate abhorrere.*
22. *Temperantiam supra modum exerceri non oportere, & animo aquè ad perfectionem repugnare nimiũ corporis studium, ac immoderatam afflictationem.*
23. *Qui vitæ huius accurationem consequi velit, et eam ab vllo qui ea perfunctus sit, discendam.*

Virgi-

Κεφ. α'.

Ὅτι κρείττων ἐγκωμίων ἡ παρθενία.

ΤΟ σεμνὸν τῆς παρθενίας εἶδος, ὃ πᾶσι μὲν τίμιόν ἐστι τοῖς τὸ καλὸν ἐν καθαρότητι κρίνουσι· παραγίνεται δὲ μόνοις οἷς ἂν ἡ τοῦ θεοῦ χάρις συμμάχως πρὸς τὴν ἀγαθὴν ταύτην ἐπιθυμίαν συναγωνίσηται· αὐτόθι μὲν ἔχει τὸν πρέποντα ἔπαινον, ἀπὸ τῆς προσηγορίας τῆς συνονομαζομένης αὐτῇ. τὸ γὰρ ἄφθορον κατὰ τὴν συνήθειαν τῶν πολλῶν ἐπὶ τῆς παρθενίας λεγόμενον, σημαντικόν ἐστι τῆς ἐν αὐτῇ καθαρότητος. ὥστε διὰ τοῦ ἰσοδυναμοῦντος ὀνόματός ἐστιν ἐπιγνῶναι τὴν ὑπερβολὴν τοῦ τοιούτου χαρίσματος, εἴπερ πολλῶν ὄντων τῶν κατ' ἀρετὴν ἐπιτελουμένων, μόνον τοῦτο τῇ ἐπωνυμίᾳ τοῦ ἀφθάρτου τετίμηται. εἰ δὲ χρὴ καὶ δι' ἐγκωμίων ταύτην τοῦ μεγάλου θεοῦ δωρεὰν ἀποσεμνῦναι, ἀρκεῖ πρὸς εὐφημίαν αὐτῆς ὁ θεῖος ἀπόστολος, δι' ὀλίγων ῥημάτων πᾶσαν ἐγκωμίων ὑπερβολὴν ἀποκρύψας, *ὃς ἁγίαν καὶ ἄμωμον τὴν κεκοσμημένην διὰ τῆς χάριτος ταύτης ὀνομάζει. εἰ γὰρ τὸ κατόρθωμα τῆς σεμνῆς ταύτης παρθενίας, ἐπὶ τὸ ἄμωμόν τινα γενέσθαι καὶ ἅγιον, ταῦτα δὲ τὰ ὀνόματα κυρίως καὶ πρώτως εἰς δόξαν παραλαμβάνεται τοῦ ἀφθάρτου θεοῦ· τίς μείζων ἔπαινος παρθενίας, ἢ τὸ ἀποδειχθῆναι διὰ τούτων θεοποιοῦσαν τρόπον τινὰ τοὺς τῶν καθαρῶν αὐτῆς μυστηρίων μετεσχηκότας, εἰς τὸ γενέσθαι αὐτοὺς κοινωνοὺς τῆς δόξης τοῦ μόνου ὡς ἀληθῶς ἁγίου καὶ ἀμώμου θεοῦ, διὰ καθαρότητος αὐτῷ καὶ ἀφθαρσίας οἰκειουμένους. ὅθεν δὲ μακροὺς ἐπαίνους ἐν διεξοδικοῖς καταλέγουσι λόγοις, ὡς διὰ τούτων προσθήσοντές τι τῷ θαύματι τῆς παρθενίας, λελήθασιν ἑαυτοὺς, κατά γε τὴν ἐμὴν κρίσιν, ἐναντιούμενοι

*Ephes. 5

τῷ ἰδίῳ

CAP. PRIMVM.

Virginitatem omni laude ſuperiorem eſſe.

AVGVSTA illa virginitatis quædam quaſi facies, quæ cùm in precio eſt apud omnes qui de bono ſincerè iudicent, tùm iis ſolis contingit, quibus ad præclarum hoc ſtudium Dei gratia benigne opituletur, vel ex nomine quo cõpelletur, inſignẽ laudẽ habet. Nã incorruptũ, quæ vox in virginitate de multorũ conſuetudine dicitur, eius integritatẽ ſignificat. Itaq; ex eo nomine quod tantundẽ valeat, intelligere eſt huius doni præſtantiam. ſiquidem, cum multa ſint quæ cũ virtute gerantur, ſolum hoc incorrupti appellatione ornatum eſt. Sin autem beneficium hoc Dei Opt. Max. etiam prædicandum eſt, ſufficiet ad eius commendationem diuinus Apoſtolus, qui paucis verbis omnem laudum amplificationem obſcuret, ſanctam atq; inculpatã eam appellans, quæ hoc munere ornata ſit. Quod ſi enim auguſtæ huius virginitatis ea eſt perfunctio, vt inculpatus ac ſanctus efficiare. eæ autem voces propriè ac primò ad incorrupti Dei gloriam vſurpantur. ecquænam maior eſſe poteſt laus virginitatis, quã oſtẽdi eã iis rebus caſtorũ ſuorũ arcanorũ participes quaſi deos efficere, vt ſocij quidam ſint gloriæ ſolius vere ſancti atq; inculpati Dei, neceſſitudine cũ eo puritate atq; integritate cõtrahenda. Ceterũ qui longas laudes longis orationibus cõtexũt, velut iis admirationis aliquid virginitati addituri, nã illi, meo quidẽ iudicio, ignorãt, ſuo ſe inſtituto aduer

τῷ ἰδίῳ σκοπῷ, δι' ὧν ἐξαίρουσιν εἰς μέγεθος, ὑπόθεσιν ποιοῦντες διὰ τῶν ἐγκωμίων τὸν ἔπαινον. ὅσα γὰρ ἐν τῇ φύσει τὸ μεγαλεῖον ἔχει, εἰκότως τὸ θαῦμα ἐπάγεται, οὐδὲν τῆς ἐκ τῶν λόγων συνηγορίας δεόμενα· καθάπερ ὁ οὐρανός, ἢ ὁ ἥλιος, ἢ ἄλλο τι τῶν τοῦ κόσμου θαυμάτων. τοῖς δὲ ταπεινοτέροις τῶν ἐπιτηδευμάτων ἀντὶ ὑποβάθρας ὁ λόγος γινόμενος, μεγέθους τινὰ φαντασίαν διὰ τῆς τῶν ἐπαινούντων ἐπινοίας περιτίθησιν· ὅθεν πολλάκις τὸ ἐκ τῶν ἐγκωμίων κατασκευαζόμενον θαῦμα, ὡς σεσοφισμένον καθυποπτεύεται ὑπὸ τῶν ἀνθρώπων. ἔπαινος δὲ μόνος ἱκανὸς τῆς παρθενίας ἐστί, τό, κρείττονα τῶν ἐπαίνων εἶναι τὴν ἀρετὴν ἀποφῆναι, καὶ τῷ βίῳ θαυμάσαι μᾶλλον ἢ τῷ [illegible] λόγῳ τὴν καθαρότητα. οὐδὲ ὑπὸ τῶν ἐγκωμίων ταύτην ὑπὸ φιλοτιμίας ποιούμενος, ἔοικε τὴν σταγόνα τῶν οἰκείων ἱδρώτων ἀξιόλογον εἰς προσθήκην νομίζειν τῷ ἀπείρῳ πελάγει γενήσεσθαι· εἴ γε ἀνθρωπίνῳ λόγῳ δυνατὸν εἶναι τὴν τοσαύτην χάριν ἀποσεμνῦναι πεπίστευκεν· ἢ γὰρ τὴν ἑαυτοῦ δύναμιν ἀγνοεῖ, ἢ ὃ ἐπαινεῖ οὐκ ἐπίσταται.

Ὅτι ἴδιον τῆς θείας τε καὶ ἀσωμάτου φύσεως κατόρθωμά ἐστιν ἡ παρθενία.

ΚΕΦ. Β.

Συνέσεως γὰρ ἡμῖν χρεία πολλῆς, δι' ἧς ἔστι γνῶναι τὴν ὑπερβολὴν τῆς χάριτος ταύτης, ἥτις συνεπινοεῖται μὲν τῷ ἀφθάρτῳ πατρί· ὃ δὴ καὶ παράδοξον, ἐν πατρὶ παρθενίαν διανοεῖσθαι τῷ δὲ υἱὸν ἔχοντι, καὶ δίχα πάθους γεννήσαντι· τῷ δὲ μονογενεῖ θεῷ τῷ τῆς ἀφθαρσίας χορηγῷ συγκαταλαμβάνεται, ὁμοῦ τῷ καθαρῷ καὶ ἀπαθεῖ τῆς γεννήσεως αὐτοῦ συνεκλάμψασα. [illegible]

πάλιν

fari, qui ea amplificanda encomiis laudem ſuſpectam reddant. Quæ enim res naturæ illuſtres ſunt, eas admirabilitatem ſecum adferunt, nec verborum patrocinium requirunt: vt cælum, aut ſol, aut aliud aliquod mundi miraculum: reliqua vero illis inferioribus ſtudijs oratio miſtar tibicinis eſt, & laudum inuentis exiſtimationem aliquam magnitudinis conciliat. Itaque ſit plerumque vt admiratio quæ encomio comparetur, velut commentitia ab hominibus ſuſpecta habeatur. Enimuerò ea demum egregia laus eſt virginitatis, cenſere eam virtutem omni laude ſuperiorem eſſe, & vita magis, quam verbis celebritatem ſuſpicere. Porrò autem qui ambitione quadam eam laudis argumentum ſibi proponat, is ſentire mihi videtur guttula ſuorum ſudorum operæ pretium aliquid infinito mari acceſſurum: ſi quidem credit poſſe vlla hominis cuiuſquã oratione tantum beneficij extolli aut enim ſuas vires ignorat, aut quod laudet, neſcit.

Virginitatem propriam eſſe functionem diuinæ atque incorporeæ naturæ.

CAP II.

Quis eſt enim ingens ingenium, quò huius doni præſtantiam intelligamus. quod cum in incorrupto Deo Patre comprehenditur, (quæ res ſanè inaudita eſt, ineſſe in patre virginitatem) qui & filium habeat, & eum citra affectionem genuerit: tum in vnigena Deo, qui integritatis largitor ſit, perſpicitur, vnáq; eius ortu puro atq; impatibili relucẽs. Quæ res ite-

πάλιν τὸ ἴσον παράδοξον, ὅπως διὰ παρθενίας νοούμενος ἐνθεωρεῖται δὲ ὡσαύτως καὶ τῷ ἁγίῳ πνεύματι φυσικῇ καὶ ἀφθάρτῳ καθαρότητι. τὸ γὰρ καθαρὸν καὶ ἄφθαρτον ὀνομάσας, ἄλλῳ ὀνόματι τὴν παρθενίαν ἐσήμανας. πάσῃ δὲ τῇ ὑπερκοσμίῳ φύσει συμπολιτεύεται, διὰ τῆς ἀπαθείας συμπαροῦσα ταῖς ὑπερεχούσαις δυνάμεσιν, οὔτε τινὸς τῶν θείων χωριζομένη, καὶ οὐδενὸς τῶν ἐναντίων ἁπτομένη. πάντα γὰρ ὅσα καὶ φύσει καὶ προαιρέσει πρὸς ἀρετὴν νένευκεν, τῷ καθαρῷ πάντως ἐνωραΐζεται τῆς ἀφθαρσίας, καὶ πάντα ὅσα εἰς τὴν ἐναντίαν ἀποκέκλιται τάξιν, τῇ ἀποπτώσει τῆς καθαρότητος τοιαῦτα ἐστὶ καὶ ὀνομάζεται. τίς οὖν ἐξαρκέσει δύναμις λόγων τῇ τοσαύτῃ χάριτι παρισωθῆναι, ἢ πῶς οὐ φοβεῖσθαι χρή, μὴ διὰ τῆς τῶν ἐπαίνων σπουδῆς λυμήνηταί τις τὸ μεγαλεῖον τοῦ ἀξιώματος, ἐλάττω τὴν περὶ αὐτοῦ δόξαν τῆς προειλημμένης τοῖς ἀκροαταῖς ἐμποιήσας. ἐκεῖνο καλῶς ἔχει, τοὺς μὲν ἐγκωμιαστικοὺς λόγους ἐπὶ ταύτης ἐᾶν, ὡς ἀμήχανον ταῖς ὑπερβολαῖς τῆς ὑποθέσεως συνεπᾶραι τὸν λόγον ὡς δὲ ἔστι δυνατόν, ἀεὶ μεμνῆσθαι τοῦ θείου χαρίσματος, καὶ ἐπὶ γλώττης ἔχειν τὸ ἀγαθὸν ὅτι ἴδιον μὲν τῆς ἀσωμάτου φύσεώς ἐστι τὸ ἐξαίρετον ὑπὸ φιλανθρωπίας δὲ θεοῦ, καὶ τοῖς διὰ σαρκὸς καὶ αἵματος λαχοῦσι τὴν ζωὴν ἐχαρίσθη, ἵνα καταβληθεῖσαν τὴν ἀνθρωπίνην φύσιν ὑπὸ τῆς ἐμπαθοῦς διαθέσεως, ὥσπερ τινὰ χεῖρα τὴν τῆς καθαρότητος μετουσίαν ὀρέξασα, πάλιν ὀρθώσῃ, καὶ πρὸς τὰ ἄνω βλέπειν χειραγωγήσῃ. διὰ τοῦτο γὰρ οἶμαι καὶ τὴν πηγὴν τῆς ἀφθαρσίας, αὐτὸν τὸν κύριον ἡμῶν ἰησοῦν χριστόν, μὴ διὰ γάμου εἰσελθεῖν εἰς τὸν κόσμον, ἵνα ἐνδείξηται διὰ τοῦ

τρόπου

rum aquè eſt mutata, ſilum per virginitatẽ cogitari. Atque idem quoque in ſpiritus ſanctis naturalibus atq; incorrupta puritate intelligitur. Quicquid enim purum atq; incorruptũ vſurpet, ſi alio nomine virginitatem notet, in omniq; cœleſti natura, vnde patendi & quaſi ferẽdi neceſſitas proſcripta ſit, verſatur, principibus illis copiis gregalibus, neq; à quoquam diuorũ ſecreta, nec cum illo aduerſatorũ cõtuncta. Quæ enim & ingenio & conſilio ad virtutẽ inclinant, ea omnino vi naturæ pura atq; incorrupta reſplendent, et quæ in contrariũ claſſe reiecta ſunt, ea ſunt atq; nominãtur, caſtitatis tactura. Eequa igitur dicendi vis ſatis futura eſt ex aquãdo tantum uneris? aut quis non vereatur, ne laudandi ſtudio, fraudi ſit tã præclare exiſtimationi, ea longe quam prius erat minori in animis auditorum relicta? Itaq; bene habebit ſi omiſſis eius laudibus, quod pro argumẽti maieſtate attolli oratio nõ poſſit, illud agemus quod poſſumus, memineri mus ſemper diuini huius beneficij, & tantum bonũ in ore habeamus quod incorporeæ naturæ proprium eſt illud quidem ac peculiare, ſed quæ Dei eſt erga nos humanitas, etiã ea qui per carnẽ ac ſanguinem vitã ſortiãtur, induta eſt, quo humanã naturam ab affectib. quibus cõcitetur afflictã, caſtitatis beneficio velut manu quadã prædẽs, alterũ erigat, atq; ad contẽplãdas res ſublimes quaſi manu ducat. Ita n ſentio, ipſum Dñm noſtrũ Ieſum Chriſtũ, qui integritatis fons ſit, ideo per coniugiũ in orbẽ nõ prodiſſe,

τρόπῳ τῆς ἐνανθρωπήσεως τὸ μέγα τοῦτο μυστήριον, ὅτι θεοῦ Emendo δέξασθαι παρουσίαν καὶ εἴσοδον μόνη καθαρότης ἱκανή ἐστι δέξασθαι· ἣν ἄλλως οὐκ ἔστι πρὸς ἀκρίβειαν πᾶσαν κατορθῶσαι, εἰ μὴ παντελῶς τὶς ἑαυτὸν τῶν σαρκικῶν παθημάτων ἀλλοτριώσειεν· ὅπερ γὰρ ἐν τῇ ἀμιάντῳ Μαρίᾳ γέγονε σωματικῶς, τοῦ πληρώματος τῆς θεότητος ἐν τῷ χριστῷ διὰ τῆς παρθένου ἐλλάμψαντος τοῦτο καὶ ἐπὶ πάσης ψυχῆς κατὰ λόγον παρθενευούσης γίνεται· 2. Cor 5. οὐκέτι σωματικὴν ποιουμένου τοῦ κυρίου τὴν παρουσίαν. οὐ γὰρ γινώσκομεν ἔτι φησὶ κατὰ σάρκα χριστὸν ἀλλὰ πνευματικῶς εἰσ- Iohan. 14. οικιζομένου, καὶ τὸν πατέρα ἑαυτοῦ συνεισάγοντος· καθὼς φησί που τὸ εὐαγγέλιον. ἐπεὶ οὖν τοσαύτη ἐστὶ τῆς παρθενίας ἡ Heb. 12. δύναμις, ὡς καὶ ἐν τοῖς οὐρανοῖς παρὰ τῷ πατρὶ τῶν πνευμάτων μένειν, καὶ μετὰ τῶν ὑπερκοσμίων χορεύειν δυνάμεων, καὶ τῆς ἀνθρωπίνης σωτηρίας ἐφάπτεσθαι· τὸν μὲν θεὸν δι' ἑαυτῆς πρὸς τὴν τοῦ ἀνθρωπίνου βίου κοινωνίαν καταγαγοῦσα· τὸν δὲ ἄνθρωπον ἐν ἑαυτῇ πρὸς τὴν τῶν οὐρανίων ἐπιθυμίαν πτερώσασα, καὶ οἱονεὶ σύνδεσμος τῆς γινομένη τῆς ἀνθρωπίνης πρὸς τὸν θεὸν οἰκειώ- Restituo ἀφεστῶτα σεως, τὰ τοσοῦτον ἀλλήλων ἐφεστῶτα τῇ φύσει τῇ παρ' ἑαυτῆς μεσιτείᾳ εἰς συμφωνίαν ἀνάγουσα, τίς ἂν εὑρεθείη δύναμις λόγων συναινοῦσα τῷ θαύματι, ἀλλ' ἐπειδὴ ἄτοποι, παντελῶς ἀφανεῖς ἢ δυσαισθητεῖς ὅμοιον φαίνεσθαι, καὶ τῶν δυοῖν τὸ ἕτερον, ἢ μὴ ἐπεγνωκέναι δοκεῖν τὰ τῆς παρθενίας καλὰ, ἢ ἄπληστον καὶ ἀκίνητον πρὸς τὴν τῶν καλῶν αἴσθησιν ἐπιδειχθῆναι, βραχέα τινὰ περὶ αὐτῆς εἰπεῖν, διὰ τὸ δεῖν ἐπὶ πᾶσι πείθεσθαι τῇ ἐξουσίᾳ τῆς ἐπιταξάντης ἡμῖν, προεθυμήθημεν. μηδεὶς δὲ τοὺς κομψοτέρους παρ' ἡμῶν ἐπιζητείτω τῶν λόγων· ἔστι μὲν γὰρ οὐδὲ βουλομένοις ἡμῖν

ἴσως

vt natiuitatis ſuæ modo ingens hoc arcanum oſtēderet, ſolam caſtitatē eam eſſe quæ Dei contubernium atq; ingreſſū admittat, qua ita demum pleniſſime perfungare, ſi ab omnibus te corporis affectionibus alienes. Quod enim corporate in incōtaminata D. Maria contigit, vt plenū Numen in Chriſto per virginē reluceret, idem in omni quoq; animo, in quo inſit virginitas quæ mēte atq; ratione ſuſcipiatur, accidit, Domino ſane non corporalē ſui copiā faciente nā non iam amplius, inquit, Chriſtū ſecundum carnē cognoſcimus, ſed ſpiritualiter immigrãte, & vnà ſecū Patrem introducēte, vt ait quodā loco Euangeliū. Quare cū virginitatis ea vis ſit, vt et in cælis apud patre ſpirituū degat, et cum cæleſtibus copiis choreas ducat, et mortaliū ſalutē procuret quæ & Deum per ſe ad humanæ vitæ communionē deducat, & hominē ſua vi ad cæleſtium rerum cupiditatē ſurrigat, & quaſi vinculū quoddā ſit humanæ cum Deo ſocietatis, res tantoperè natura inuicē deiunctas, interuentu ſuo ad concordiam reducens: cedo, quæ dicendi contentio pro ea maieſtate ſe attollat? ſed quoniam abſurdum eſt, ſimilem eſſe planè mutis ac ſine ſenſibus, & duorum alterum, aut virginitatis bona videri neſciſſe, aut iis ſentiēdis ſtupidum atq; impermotum oſtendi, quia omnino imperio eius, qui id nobis præſcripſit, mos gerendus eſt, paucis de ea diſſerere inſtituimus. Nemo autem à nobis ampullatam orationē requirat: fortaſſe enim ne ſi vellemus quidem, præſtare id poſſe-

ἴσως δυνατὸν τὸ τοιοῦτον, ἀμελετήτοις οὖσι τῆς τοιαύτης λέξεως· εἰ δὲ καὶ παρῆν τοῦ κομπάζειν ἡ δύναμις, οὐκ ἂν τοῦ κοινῇ λυσιτελοῦντος τὸ, ἐν ὀλίγοις εὐδοκιμῆσαι προετιμησάμην. ζητεῖν γὰρ ἐξ ἁπάντων οἶμαι δεῖν τόν γε νοῦν ἔχοντα, οὐκ ἐξ ὧν ὑπὲρ τοὺς λοιποὺς θαυμασθήσεται, ἀλλ' ἐξ ὧν ἂν καὶ ἑαυτὸν καὶ τοὺς λοιποὺς ὠφελήσειεν.

Μνήμη τῶν ἐκ τοῦ γάμου δυσχερῶν καὶ ἔνδειξις τοῦ, τὸν γεγραφότα τὸν λόγον μὴ ἄγαμον εἶναι.

ΚΕΦ. Γ.

ΕἼθέ πως οἷόν τε ἦν κἀμέ τι κερδᾶναι πλέον ἐκ τῆς τοιαύτης σπουδῆς· ὡς μετὰ πλείονος ἂν τῆς προθυμίας τὸν περὶ τούτων πόνον ἀνεστησάμην, εἴπερ κατὰ τὸ γεγραμμένον, ἐπ' ἐλπίδι τοῦ μετασχεῖν τῶν ἐκ τοῦ ἀρότρου καὶ ἀλοητοῦ γεννημάτων ἐφιλοπόνουν τὸν λόγον· νυνὶ δὲ τρόπον τινὰ ματαία καὶ ἀνόνητος ἡ γνῶσις ἐμοὶ τῶν τῆς παρθενίας καλῶν, ὡς τῷ βοῒ τὰ γεννήματα, τῷ μετὰ κημοῦ περιστρεφομένῳ τὴν ἅλωνα· ἢ ὡς τῷ διψῶντι τὸ ἀπόρρεον τῶν κρημνῶν ὕδωρ, ὅταν ἀνέφικτον ᾖ. μακάριοι δὲ οἷς ἐν ἐξουσίᾳ τῶν βελτιόνων ἐστὶν ἡ αἵρεσις, καὶ οὐκ ἀπεκλείσθησαν τῷ κοινῷ προληφθέντες βίῳ, καθάπερ ἡμεῖς οἷόν τινι χάσματι πρὸς τὸ τῆς παρθενίας καύχημα διειργόμεθα, πρὸς ἣν οὐκ ἔστιν ἐπανελθεῖν ἔτι τὸν ἅπαξ τῷ κοσμικῷ βίῳ τὸ ἴχνος ἐναπερείσαντα. διὰ τοῦτο θεαταὶ μόνον τῶν ἀλλοτρίων ἐσμὲν καλῶν ἡμεῖς, καὶ μάρτυρες τῆς ἑκατέρων μακαριότητος. κἄν τι δεξιὸν περὶ παρθενίας βοήσωμεν, ταὐτὸν πάσχομεν τοῖς ὀψοποιοῖς τε καὶ ὑπηρέταις, οἳ τὴν ἐπιτραπέζιον τῶν πλουσίων τρυφὴν ἄλλοις ἡδύνουσιν, οὐδενὸς αὐτοὶ τῶν παρεσκευασμένων μετέχοντες. ὡς μακάριόν γε ἂν ἦν, εἰ μὴ οὕτως εἶχε, μηδὲ τῇ

1. Cor. 9

Reponitur

Corruptum est pro [illegible]

ὑστερ-

id poſſemus, quippe ab ea dictione inexercitati. Quanquam vt adeſſet facultas, nunquam communi omnium frugi laudem quorundā præferremus. hominis enim cato ea diligenda exiſtimo, non vnde præceteris admirationi ſit, ſed vnde & ſibi & alijs proſit.

Recenſio malorum Matrimonij & auctorem libri calibem non fuiſſe.

CAP III.

ANTQVE vtinam ad me quoque ex eo ſtudio redire aliquid poſſet. Equidem maiori alacritate eũ laborẽ cepiſſem, ſi quemadmodũ ſcripti eſt ſpe percipiendorũ fructuum ex arattone ac tritura ſermonem elaboraſſem. Nunc penè inanis mihi atq; infructuoſa eſt virginitatis bonorum cognitio, velut bous capiſtrato per arcam cõmeantis, annonæ aut ſitientis aqua de rupe deſluens, ad quam pertingi non poſſit felices quibus quod melius ſit dicẽdi poteſtas eſt, nec communi vita præcepti, arcentur, velut nos tanquam hiatu quodam à virginitatis laude prohibemur, ad quam ei neſas ſit redire, qui veſtigiũ ſemel mundanæ vitæ inſigat. Iunctę tantũ ſpectatores ſumus alienorum bonorum, & alienæ felicitatis teſtes. Quod ſiquid de virginitate dextrum eſſ amur, id metimur quod coqui & ſeruitia, qui opiparas diuitum menſas alijs condiũt, ipſi omnium qua apparauerint exortes. Quod niſi enim ita res tuliſſet, vt poſterioribus conſilijs bonũ hoc intelligere-

ὑπερβολὴν τὸ καλὸν εἶναι ὡρίσαμεν· νυνὶ δὲ ζηλωτοὶ μὲν ὅλως καὶ πάσης ψυχῆς καὶ ἐπιθυμίας ἐπέκεινα πράττοντες, οἷς ἡ δύναμις τῶν ἀπολαύσεων τῶν ἀγαθῶν τούτων οὐκ ἀποκέκλεισται· ἡμεῖς δὲ καθάπερ οἱ τῇ πολιτείᾳ τοῦ πλούτου τὴν ἑαυτῶν παραθεωροῦντες πενίαν, πλεῖον ἀνιῶνται τοῖς παροῦσι καὶ δυσχεραίνουσι· τὸν αὐτὸν τρόπον ὅσῳ πλέον τὸν τῆς παρθενίας πλοῦτον ἐπιγινώσκομεν, τοσούτῳ μᾶλλον ὀδυρόμεθα τὸν ἄλλον βίον, διὰ τῆς τῶν βελτιόνων παρεξετάσεως οἵων καὶ ὅσων πτωχεύει καταμανθάνοντες. οὐ λέγω μόνον ὅσα ὕστερον τοῖς κατ' ἀρετὴν βεβιωκόσιν ἀπόκειται, ἀλλὰ καὶ ὅσα τῆς παρούσης ἐστὶ ζωῆς· εἰ γάρ τις ἀκριβῶς ἐξετάζειν ἐθέλοι τοῦ βίου τούτου τὸ πρὸς τὴν παρθενίαν διάφορον, τοσαύτην εὑρήσει τὴν διαφθοράν, ὅση σχεδὸν πρὸς τὰ οὐράνια τῶν ἐπιγείων ἐστίν· ἔξεστι δὲ γνῶναι τὴν τοῦ λόγου ἀλήθειαν, αὐτὰ διασκεψαμένους τὰ πράγματα. πόθεν δέ τις ἀρξάμενος, ἐπαξίως ἂν τὸν βαρὺν τοῦτον ἐκτραγῳδήσειεν; ἢ πῶς ἄν τις τὰ κοινὰ τοῦ βίου ὑπ' ὄψιν ἀγάγοι κακά, ἃ πάντες μὲν οἱ ἄνθρωποι διὰ τῆς πείρας γινώσκουσιν, οὐκ οἶδα δὲ ὅπως ἐν αὐτοῖς τοῖς εἰδόσιν αὐτὰ λανθάνειν ἡ φύσις ἐμηχανήσατο, ἑκουσίως τῶν ἀνθρώπων ἐν οἷς εἰσιν ἀγνοούντων. βούλει ἀπὸ τῶν ἡδίστων ἀρξώμεθα; οὐκοῦν τὸ κεφάλαιον τῶν ἐν τῷ γάμῳ σπουδαζομένων τὸ κεχαρισμένης ἐπιτυχεῖν ἐστὶ συμβιώσεως· καὶ δὴ τοῦθ' οὕτως ἐχέτω, καὶ διὰ πάντων μακαριστὸς ὑπογεγράφθω ὁ γάμος· γένος εὐδόκιμον, πλοῦτος ἀρκῶν, ἡλικία συμβαίνουσα, τῆς ὥρας 4 αὐτὸ τὸ ἄνθος, φίλτρον πολύ, καὶ *οἷον ἐν ἑκατέρῳ ὑπὲρ τῶν ἄλλων ὑπονοεῖσθαι· γλυκεῖα ἐκείνη φιλονεικία τὸ ἑαυτὸν βούλεσθαι νικᾶν ἐν τῇ ἀγάπῃ ἑκάτερον, προσέστω τούτοις δόξα καὶ δυναστεία καὶ περιφάνεια, καὶ πᾶν ὅτι βούλει. ἀλλ' ὅρα καὶ τὴν τοῖς ἀπηριθμη-

μένοις

*Οὕτω τὴν διαφοράν.

mus, na nos fortunati essemus. Nunc verè inuidiosos, et supra quam optari ac desiderari possit beatos, quibus nō est vs bonis fruendi facultas precluſa. Nos autem, quasi qui inopiā ſuam cum opulentorū vita contēdunt, magis vicē ſuā dolent, ac ringūtur, eodē modo quo virginitatis opes plus perſpicimus, eo magis aliorū vitā miſeramur, quibus, quantiſq; careat, preſtantiorū rerū cōparatione aſſequuti. Non ea tantū dico quæ in poſterū vs qui probè vixerint reſeruantur, verū etiā quæ preſentis vitæ ſunt. Etenim qui diſcrimen huius vitæ a virginitate diſpicere velit, is eā diſſimilitudinem inueniet, quæ ferè eſt cœleſtis cum terrena. Ac verū eſſe quod dicimus, intelligere eſt ex ipſarū rerū contēplatione. Sed vnde tandem exorſus, pro dignitate arūnoſam illā exaggeres? Et quis autē cōmunia vitæ mala deſcribat & velut ſub oculis colloceat? quæ cum omnes mortales experientia tenent, tum effecit neſcio quo modo natura, vt etiā conſectos late at, hominibus libenter quibus in malis verſentur, ignorātibus. Vis à tucūdiſſimis auſpicemur? Itaq; caput ſtudy nuptiarū, adeptio eſt ſuauis vitæ cōſuetudinis: ſint hæc ſanè, et matrimonii omnibus modis beatiſſimū deſcribatur, genus illuſtre, opes ſufficiētes, ætas congrua, pulchritudinis flos, caritas ſumma, & quanta maxima cogitari poteſt vtriuſq; ergo alterius, ſuauis amborū cōtentio alterū officio vincēdi. Addo & gloriā, potentiā, claritatem, & quicquid voles. Sed videſis & neceſſariū comitem dolorem,

μετρίοις χρηστοῖς ἀνεξικάκως συμπαροῦσαν καὶ ἀποτυγχάνουσαν λύπην· ἐάσω τὸν τοῖς εὐδοκιμοῦσιν ἐπιφυόμενον φθόνον, καὶ τὸ, πρόχειρον εἶναι πρὸς ἐπιβουλὴν τῶν ἀνθρώπων τὸ δοκεῖν εὐημερεῖν ἐν τῷ βίῳ, καὶ ὅτι πᾶς ὁ μὴ ἰσομοιρῶν ἐν τοῖς κρείττοσι, φυσικόν τε πρὸς τὸν ὑπερέχοντα τὸ μῖσος ἔχει· καὶ διὰ τοῦτο δι' ὑποψίας τοῖς δοκοῦσιν εὐθυμεῖν ὁ βίος ἐστίν, πλείω τῶν ἡδέων τὰ λυπηρὰ παρεχόμενος· παρίημι ταῦτα, ὡς καὶ τοῦ φθόνου κατ' ἐκείνων ἀργοῦντος. 5 καίτοιγε οὐ ῥᾴδιόν ἐστιν εὑρεῖν ὅπου τὰ δύο κατὰ ταὐτὸν συνηνέχθη. καὶ ὑπὲρ τοὺς πολλοὺς εὐδαιμονεῖν, καὶ διαφεύγειν τὸν φθόνον. πλὴν ἀλλὰ πάντων τῶν τοιούτων ἐλευθέραν αὐτῶν τὴν ζωὴν εἰ δοκεῖ ὑποθώμεθα, καὶ ἴδωμεν εἰ δυνατὸν ἐστιν εὐθυμεῖν τοὺς ἐν τοιαύτῃ διάγοντας εὐημερίᾳ. τί οὖν ἔσται τὸ λυπηρὸν, ἐρεῖς, εἰ μηδὲ ὁ φθόνος τῶν εὐδαιμονούντων καθάψεται; τοῦτο αὐτό φημι τὸ, διὰ πάντων αὐτοῖς τὸν βίον καταγλυκαίνεσθαι, τοῦτ' ἐστι τὸ τῆς λύπης ὑπέκκαυμα. ἕως γὰρ ἄνθρωποι ὦσι, τὸ θνητὸν τοῦτο καὶ ἐπίκηρον πρᾶγμα, καὶ τοὺς τάφους τῶν ἀφ' ὧν γεγόνασι βλέπουσιν, ἀχώριστον ἔχουσι καὶ συνεζευγμένην τῇ ζωῇ τὴν λύπην, εἰ, καὶ μικρὸν μετέχουσι τοῦ λογίζεσθαι· ἡ γὰρ διηνεκὴς τοῦ θανάτου προσδοκία, οὐκ ἐπὶ ῥητοῖς τισὶ σημείοις ἐπιγινωσκομένη, ἀλλὰ διὰ τὴν ἀδηλίαν τοῦ μέλλοντος, πάντοτε ἐπίσης ἐφεστηκυῖα φοβοῦσα, τὴν ἀεὶ παροῦσαν εὐφροσύνην συγχεῖ, τῷ φόβῳ τῶν ἐλπιζομένων τὰς εὐθυμίας ἐπιταράσσουσα. εἰ γὰρ ἦν δυνατὸν πρὸ τῆς πείρας τὰ τῶν πεπειραμένων μαθεῖν, εἰ γὰρ ἐξῆν δι' ἄλλης τινὸς ἐπινοίας ἐντὸς τοῦ βίου γινόμενον, ἐποπτεῦσαι τὰ πράγματα, πόσος ἂν ἦν ὁ δρόμος τῶν αὐτομολούντων πρὸς τὴν παρθενίαν ἀπὸ τοῦ γάμου, πόση φυλακὴ καὶ προμήθεια τοῦ, μήποτε ἀφύκτοις πάγαις ἐγκρα-

*Sequar [illegible]

*Corrumpit [illegible]

*Omnino [illegible]

qui bona ea quæ recenſuimus carpat. Nihil dico inuidiā quæ viris magnis creetur, et illā, quæ videatur, vita beatitudinem hominū inſidiis expoſitam eſſe, & qui vlla re eximia alteri impar ſit, eū odio quodam naturali teneri eius qui præcellat: quare iis qui ab animo ſecuri eſſe videātur, vita agēda ſit ſollicita, rebus triſtibus quā iucūdis comitatior. Miſſa hæc facio, velut inuidia quoq; erga eos extincta: etſi non temerè reperire eſt, in quē duo hæc ſimul conueniāt, cui præ ceteris bene ſit, & inuidiā declinet. Sed age ponamus, ſi videtur, eorū vitam iis omnibus ſolutā eſſe ac liberā, et, ſi tranquilli eſſe poßint qui reb. tā proſperis vtantur, videamus. Quid, malū, eſt, inquies, quod diſcruciet, ſi nec inuidia reb. omnibus florētes attinget? Hoc ipſum inquā, quod vitā degāt omnib. partibus ſuauē, id vero doloris ſuſcitamentū eſt. Donec enim homines ſunt, caducū quiddā ac mortale, et funera parētū ſuorū conſpiciūt, habent nimirū conſectariū & velut nexū cū vita dolorē, ſi quidē ineſt in eis vel minimū rationis. Nā aßidua mortis expectatio, nullis certis indiciis cōprehenſa, ſed propter incertitudinē impendentis, velut præſens ſemper exterrēs, lætitiā quæ in manibus ſit perpetuò miſcet, animi trāquillitatē metu rerū quæ ſperentur perturbās. Quod ſi n. poßēt inexperti quæ experti intelligere, ſi alia vlla ratione in vitā ingreßis rē omnē intueri liceret, Dij immortales, quātus cōcurſus eſſet eorū qui à matrimonio ad virginitatē cōfugerent? quæ induſtria ac

Digitized by Google

cautio ne inextricabilibus plagis vnquã tenerẽtur, quarum inuictum robur is demũ perſpiciat, qui intrettus ſit. Videres enim, ſi quidem indemnis poſſes, magnã contrariarum rerũ confuſionem, riſum lacrymis temperatum, dolorem gaudio permixtũ, mortem omnibus quæ gerantur per ſpem præſentẽ, quam res ſingulas iucunda graſſetur. Sponſum cariſſimo vultu conſpecto, ſtatim omnino & timor diſſidij euanuit, & audita ſuauiſſima voce, illud etiam cogitabit, aliquando nõ audire. Sin autẽ contemplanda pulchritudine triũphet, tũ verò maximè expectationẽ horret luctus. Quod ſi qua inuictus ſuſpiciat, & quæ imperiti conſpectentur, conſideret puta oculũ palpebris renidentem, ſupercilijũ oculis offuſum, genas ſuauiter & delicatè ridentes, labellũ naturali rubore florẽs, capillũ altũ atq; auricolorem vario implexu capiti circumnitentem, dentiq; omnem illũ temporariũ ornatum, tum illud omnino cũ animo cogitabit, ſi quidem vel minimũ habet mentis ac ingenij, fore vt ea pulchritudo aliquando diffluxũ eat, atq; in nihilũ cedat, ex tam lepida, oſſa execranda atq; fœda effectam, nullo veſtigio, nullo monumento, nullis præſentis floris reliquijs obiectis. Hæc & ſimilia qui cogitet, ecquid vitam aget iucundã? ecquid boni ſibi oblatũ velut perpetuis fidem habebit? An illud ex his perſpicuũ eſt, eũ, vt in formidatum ludibrium, trepidam, vita diffiſurum, & quæ cernantur pro alienis ducturũ? Intelliget nimirũ, ſi quidẽ aliquo ſit vſu rerũ, nihil

σκέψιν, ὅτι οὐδὲν τῶν ἐν τῷ βίῳ φαινομένων ὡς ἔστι φαίνεται· ἀλλὰ κατὰ τὰς ἀπατηλὰς φαντασίας, ἕτερα ἀνθ' ἑτέρων ἡμῖν προδείκνυσι, διαπαίζων τοὺς ἐλπίσι πρὸς αὐτὸν κεχηνότας· καὶ διὰ τῆς τῶν φαινομένων ἐπιδύσεως συγκαλύπτων αὐτὸς ἑαυτὸν, ἕως ἂν ἀθρόως ἐν ταῖς μεταβολαῖς ἐλεγχθείη ἄλλο τι ὢν παρὰ τὴν ἀνθρωπίνην ἐλπίδα, τὴν διὰ τῆς ἀπάτης τοῖς ἀνοήτοις ἐγγινομένην. ποίας οὖν ἡδονῆς ἄξια τῷ ταῦτα λογιζομένῳ φανεῖται τὰ ἡδέα τοῦ βίου; πότε ἡσθήσεται κατ' ἀλήθειαν ὁ ταῦτα φρονῶν, καὶ τοῖς δοκοῦσιν αὐτῷ παρεῖναι χρηστοῖς εὐφρανθήσεται; οὐκ ἀεὶ τῷ φόβῳ τῆς μεταβολῆς ταραττόμενος, ἀνεπαίσθητον ἔχει τὴν τῶν παρόντων ἀπόλαυσιν, διοσημεῖα, καὶ ὀνείρους, καὶ κληδόνας, καὶ τοὺς τοιούτους λήρους, πάντα ὑπὸ ματαίας συνηθείας παρατηρούμενα, καὶ πρὸς τὸ χεῖρον ὑποπτευόμενα· ἀλλὰ καὶ πρὸς ὠδῖνα τὴν παῖδα καταλαμβάνει, καὶ οὐχὶ παιδὸς γένεσις, ἀλλὰ θανάτου παρουσία τὸ πρᾶγμα νομίζεται, καὶ θάνατος τῇ κυοφορούσῃ διὰ τοῦ τόκου ἐλπίζεται· πολλάκις δὲ καὶ τῆς πονηρᾶς ταύτης μαντείας οὐ διεψεύσθησαν, ἀλλὰ πρὶν ἑορτάσαι τὴν γενέθλιον ἑορτὴν, πρίν τινος τῶν κατ' ἐλπίδα ἀγαθῶν ἀπογεύσασθαι, εὐθὺς εἰς θρῆνον τὴν χαρὰν μεθηρμόσαντο, ἔτι τῷ φίλτρῳ ζέοντες, ἔτι τοῖς πόθοις ἀκμάζοντες, οὔπω τῶν κατὰ τὸν βίον ἡδίστων λαβόντες τὴν αἴσθησιν, ὥσπερ τινὸς ἐνυπνίου φαντασίᾳ, πάντων εὐθέως τῶν ἐν χερσὶν ἐγυμνώθησαν. τὰ δὲ ἐπὶ τούτοις, οἷα; πορθεῖται μὲν ὑπὸ τῶν οἰκείων ὡς ὑπὸ πολεμίων ὁ θάλαμος· καλλωπίζεται δὲ ἀντὶ τοῦ
6 θαλάμου διὰ τοῦ τάφου ὁ θάνατος. ἀνακλήσεις * ἐπὶ τοῦ ἀνόνητοι, καὶ μάταιοι χειρῶν κρότοι, ἀναμνήσεις τοῦ προτέρου βίου, καταραὶ κατὰ τῶν συμβουλευσάντων τὸν γάμον, μέμψεις κατὰ τῶν μὴ κωλυ-

nihil eorum quæ in vita appareãt, quale ſit, apparere, ſed eam fallaci quadam ſpecie alia pro aliis repræſentare, iis qui ſibi ſpe inhient, deludendis & præ rerum quæ appareant fallacia, ſe ipſe occulet, donec ingruens rerum conuerſio vitam hanc aliud eſſe, quã homines imperiti fraude inducti ſibi fingant, euincat. Hæc qui reputet, cenſen eum quæ in vita inſint iucunda, vlla in parte voluptatis habiturum? ecquid autem qui hæc cogitet, vere gaudeat, & bonis quibus frui videatur, exultet? An non mutationis metu aßidue turbatur, à præſentium rerum perceptione atque ſenſu arcetur? Omitto oſtenta, ſomnia, ſortes, & id genus nugas, quæ omnia inani conſuetudine obſeruẽtur, atq; in peiorem partem timeantur. Sed iam partus puellam apprehendit, nec tam puerperiũ agi creditur, quàm mortis præſentia, & grauida in partu mors ſperatur nec ſanè dirum hoc augurium plerunq; temerè eſt, ſed priuſquã natalitia agant, aut bonũ vllum, cuiuſmodi ſperẽt, percipiant, protinus lætitiam luctu mutant, adhuc amore ardentes, adhuc deſideriis incenſi nondum perceptis quæ in vita iucundißima ſunt, velut inſomnio quodã oblato, omnia de manibus amittunt. Iam reliqua deinceps cuiuſmodi ſunt? Oppugnatur ab amicis velut hoſtibus thalamus, adornatur thalami loco per funus Libithina. ſuccedũt inutilis reuocatio, inanis manuum plauſus, recordatio prioris vitæ, diræ in eos qui matrimonium ſuaſerint, querelæ de amicis qui non prohibuerint,

Digitized by Google

κωλυόντων φίλων, ἐν αἰτίᾳ πολλῇ οἱ γονεῖς, οἵ τε περιόντες τύχωσιν οἵ τε καὶ μὴ, ἀγανάκτησις κατὰ τῆς ἀνθρωπίνης ζωῆς, κατηγορία πάσης τῆς φύσεως, καὶ αὐτῆς τῆς θείας οἰκονομίας μέμψεις πολλαὶ καὶ ἐγκλήματα, μάχη πρὸς ἑαυτὸν, πόλεμος κατὰ τῶν τεθεικότων, οὐδεὶς τῶν ἀτοπωτάτων ὄκνος οὔτε ῥημάτων οὔτε πραγμάτων· πολλάκις δὲ, οἷς ἂν ὑπερσχῇ τὸ πάθος, καὶ περαιτέρως καταποθῇ ὁ λογισμὸς ὑπὸ τῆς λύπης, εἰς πικρότερον πέρας ἡ τραγῳδία κατέληξεν, οὐδὲ τοῦ περιληφθέντος ἐπιβιῶναι τῇ συμφορᾷ δυνηθέντος· ἀλλ' οὐχὶ τοῦτο, ὑποθώμεθα δὲ τὰ βελτίω, ὅτι καὶ διέφυγε τῶν ὠδίνων τὸν κίνδυνον, καὶ γέγονεν αὐτοῖς παῖς αὐτὸ τῆς ὥρας τῶν γεννησαμένων τὸ ἀπεικόνισμα· πότερον ἠλαττώθη διὰ τούτων ἡ τοῦ λυπεῖσθαι ὑπόθεσις; ἢ οὐχὶ καὶ προσθήκας μᾶλλον ἐδέξατο; τούς τε γὰρ προτέρους ἔχουσι φόβους, καὶ τὸν ὑπὲρ τοῦ τέκνου προσέλαβον, μή τι συμβῇ περὶ τὴν ἀνατροφὴν ἀηδές· μή τις πονηρὰ συντυχία· μή τι σύμπτωμα τῶν ἀβουλήτων ἢ πάθος, ἢ πήρωσιν, ἢ κίνδυνον ἐπαγάγῃ τινά· καὶ ταῦτα μὲν ἀμφοτέρων κοινά· τὰ δὲ τῆς γαμετῆς ἴδια, τίς ἂν ἐξαριθμήσαιτο; ἵνα γὰρ ἐάσωμεν τὰ πρόχειρα ταῦτα καὶ πᾶσι γνώριμα, τὸ τῆς κυοφορίας ἄχθος, τὸν ἐν ταῖς ὠδῖσι κίνδυνον, τὸν ὑπὲρ τῆς ἀνατροφῆς πόνον, τὸ, τὴν καρδίαν αὐτῆς τῷ τεχθέντι συναποσχίζεσθαι· κἂν πλειόνων γένηται μήτηρ, εἰς τοσαῦτα κατατέμνεσθαι αὐτῆς τὴν ψυχὴν, ὅσος ὁ ἀριθμὸς τῶν τέκνων ἐστίν· ὡς τῶν συμβαινόντων ἐκείνοις τὴν αἴσθησιν ἐν τοῖς ἰδίοις σπλάγχνοις δέχεσθαι· καὶ πάντα τὰ τοιαῦτα γνώριμα πᾶσιν ὄντα, τί ἄν τις λέγοι; ἀλλ' ἐπειδὴ * κατὰ τὸ θεῖον λόγον, οὐχ ἑαυτῆς ἐστι κυρία, πρὸς δὲ τὸν διὰ τοῦ γάμου κυριεύοντα, τὴν ἀποστροφὴν ἔχει, κἂν πρὸς

ὀλίγον

*[illegible] legendum. [illegible]

*[illegible]

magno in crimine ſunt parentes, ſiue ſuperſint, ſiue non, indignatio de humana vita, inſimulatio totius naturæ, graues accuſationes ac querelæ de diuina procuratione, pugna ſecum, bellum cum monitoribus, nulla abſurdiſſimarum rerum aut verborũ religio. Sæpe etiam in quibus hoc morbi præpolleat, et rationem dolor vehementius oppreſſerit, tragœdia hæc in acerbiorẽ finem deſinit, nec ſuperſtite quidẽ calamitati ſuperuiuere ſuſtinente. Sed age demus his meliora, eam et partus periculũ effugiſſe, et eis puerum natũ, viuũ pulchritudinis parentũ ſimulacrũ. Ecquid propterea minus eſt cur doleant? An non & auctariũ potius acceſſit? Nam & habent priores metus, & alius præterea de puero impendet, ne in educatione aliquid accidat ingratũ, ne qua profligata ſocietas, ne qua fors fortuna aduerſa vitiũ aliquod, aut detrimentũ, aut periculum adferat. Atque hæc quidem amborum communia ſunt. Porrò autem quæ propria ſint nuptæ, quis enumeret? Vt enim omittamus illa omnibus nota, & obuia, vteri pondus, periculum in partu, laborem in educando cor ei vnà cum fœtu diduci, & ſi plurium mater ſit, toties ei animam diſtrahi, quot ſint liberi, quæ iis accidant, ea in viſceribus ſuis ſentire. Hæc inquam omnia omnibus explorata quid attinet cõmemorare? Quoniam verò vt fert diuinum edictum, ſui capitis domina non eſt, ſed ad eum qui per nuptias dominium acquiſierit, refertur, ſi ab eo vel minimùm deſoletur,

ὀλίγον αὐτοῦ μονωθῇ, ὡς τῆς κεφαλῆς διεζευγμένη, οὐ φέρει τὴν μόνωσιν, ἀλλὰ μελέτην τινὰ τῆς ἐν τῇ χηρείᾳ ζωῆς καὶ τὴν ἐν ὀλίγῳ τοῦ ἀνδρὸς ἀναχώρησιν οἰωνίζεται· εὐθὺς ὁ φόβος ἀπόγνωσιν ἐμποιεῖ τῶν χρηστοτέρων ἐλπίδων· καὶ διὰ τοῦτο ὁ μὲν ὀφθαλμὸς περὶ τὴν εἴσοδον πέπηγε, γέμων ταραχῆς καὶ πτοήσεως· ἡ δὲ ἀκοὴ τοὺς ὑπολαλοῦντας περιεργάζεται· συγκόπτεται δὲ ἡ καρδία μαστιζομένη τῷ φόβῳ, καὶ πρίν τι περὶ αὐτοῦ ἀγγελθῆναι *νεώτερον· καὶ μόνον ψόφος περὶ τὴν θύραν ἢ ὑπονοηθεὶς, ἢ γενόμενος, ὥσπερ τις ἄγγελος κακῶν ἐξαίφνης τὴν ψυχὴν διεκλόνησεν. καὶ τὰ μὲν ἔξω δεξιὰ τυχὸν καὶ οὐδενὸς ἄξια φόβου· φθάνει δὲ ἡ λιποθυμία τὴν ἀγγελίαν, καὶ ἀναστρέφει πρὸς τὸ ἐναντίον ἀπὸ τῶν ἡδέων τὴν γνώμην. τοιοῦτος τῶν εὐθυμούντων ὁ βίος, *πάνυ γε ἄξιος· οὐ γὰρ τῇ ἐλευθερίᾳ τῆς παρθενίας ἀντεξετάζεται· καὶ τὰ πολλὰ τῶν σκυθρωποτέρων ὁ λόγος ἐπισχὼν κατέλιπε· πολλάκις γὰρ κἀκείνη *ἔστι νέα τῷ σώματι ἔτι τῇ νυμφικῇ ἀγλαΐᾳ στίλβουσα· ἔτι τυχὸν ἐρυθριῶσα τοῦ νυμφίου τὴν εἴσοδον, καὶ μετ' αἰδοῦς ὑποβλέπουσα, ὅτε καὶ θερμοτέρους εἶναι συμβαίνει τοὺς πόθους, ὑπ' αἰσχύνης πρὸς τὸ ἐκφανῆναι κωλυομένους, ἐξαίφνης χήρα, καὶ ἀθλία, καὶ ἔρημος, καὶ πάντα τὰ φαυλὰ μεταλαμβάνει ὀνόματα, καὶ τὴν τέως λαμπρὰν καὶ λευχείμονα καὶ περίβλεπτον, ἀθρόως καταμελαίνει προσπεσοῦσα ἡ συμφορά, καὶ περιβάλλει τῷ πένθει, τὸν νυμφικὸν κόσμον ἀποσυλήσασα· εἶτα ζόφος ἀντὶ τῆς ἐν παστάδι λαμπρότητος, καὶ θρηνῳδοὶ τὰς οἰμωγὰς ἐπιτείνουσαι, καὶ μῖσος κατὰ τῶν ἐπιχειρούντων πραΰνειν τὰ πάθη· ἀπέχθεια σιτίων· τηκεδὼν σώματος· κατήφεια ψυχῆς· ἐπιθυμία θανάτου, καὶ μέχρις αὐτοῦ τοῦ θανάτου πολλάκις

ἰσχύσα-

Vita hic vocem vsurpauit & Euripid. Hecuba.

*Puto desiderari οὐ.

*[illegible]

Google

velut à capite abuncta, solitudinẽ non fert, sed vel exiguam viri absentiam meditationẽ quandam vidua vita auguratur. Continuò metus desperationem adfert melioris ominis. Itaq; stant ad ingressum pleni trepidationis ac consternationis oculi, aures etiam susurros rimantur, cor metu afflictatum tunditur, etiã prius quàm aduersi aliquid nuncietur, & strepitus tantùm pro sonibus excitatus, aut excitari visus, velut nuncius alicuius cladis è vestigio animum versat. cum foris quidem fortasse omnia salua sint, nec metu digna. Sed anteceruit nuncium animi mœror, & cogitationem à rebus iucundis ad contraria detorquet. Hæc illa est fortunatorum vita, non admodum illa quidem præclara neque enim potest cũ virginitatis libertate contendi: est multa quoq; e tristioribus, his percurrendis sunt à nobis prætermissa. sæpe in illa adhuc corpore inuencula, adhuc nuptiali mũdo renidens, adhuc fortasse ad sponsi ingressum verecunda, & eum pudibundè aspiciens, cum quidẽ ardentius est desideriũ, quod præ pudore proferri vetetur, subitò vidua, misera, desolata, & alius funestis nominibus afficitur, et eã hactenus nitidã, candidatã, cõspiciendãq; aggressa calamitas, de repente atrat, ac luctu circumfundit, nuptiali omni mũdo derepto atq; detracto. Tum tenebræ pro thalami splẽdore, & præfica sletũ intendẽtes, odiũ erga eos qui dolorẽ mitigare conentur, cibi auersio, corporis tabes, animi defectio, mortis ardor sæpe etiã ad

†Omnino radicit.

ἰσχύσασα. ἐὰν δὲ καὶ παυθῇ πως τῷ χρόνῳ ἡ συμφορά, πάλιν ἄλλη συμφορά, εἴτε ὑπάρχει τέκνα, εἴτε καὶ μή. ὄντα μὲν γάρ, ὀρφανὰ παῖδας ἐστί, καὶ διὰ τοῦτο ἐλεεινά, καὶ δι' αὐτῶν τὸ πάθος ἀνακαινίζοντα. εἰ δὲ μὴ εἴη, †πρόρριζον οἴχεται τὸ τοῦ κατοιχομένου μνημόσυνον, καὶ τὸ κακὸν ὑπὲρ παραμυθίαν ἐστίν. ἐῶ τὰ ἄλλα τὰ τῆς χηρείας ἴδια. τίς γὰρ ἂν πάντα μετ' ἀκριβείας ἀπαριθμήσαιτο, τοὺς ἐχθρούς, τοὺς οἰκείους; τοὺς μὲν ἐπεμβαίνοντας τῇ συμφορᾷ· τοὺς δὲ φαιδρυνομένους τῇ ἐρημίᾳ, καὶ μεθ' ἡδονῆς βλέποντας ἐν πικρῷ ὀφθαλμῷ, τὸν διαπίπτοντα οἶκον, καὶ τοὺς καταφρονοῦντας οἰκέτας, καὶ πόσα τὰ ἄλλα ὅσα πάρεστιν ἀφθόνως ἐπὶ τῶν τοιούτων δυστυχημάτων ὁρᾶν· δι' ὧν αἱ πολλαὶ καὶ δεύτεραι ὑπ' ἀνάγκης πρὸς τὴν τῶν ὁμοίων κακῶν παρεβάλλοντο πεῖραν, οὐκ ἐνεγκοῦσαι τῶν ἐπεγγελώντων τὴν πικρίαν, ὥσπερ ἀμυνόμεναι τοὺς λυπήσαντας τοῖς ἰδίοις κακοῖς· πολλαὶ δὲ τῇ μνήμῃ τῶν συμβεβηκότων, πᾶν ὁτιοῦν ὑπέστησαν μᾶλλον, ἢ ἐμπεσεῖν ἐκ δευτέρου τῇ τῶν συμφορῶν ὁμοιότητι. καὶ εἰ βούλει μαθεῖν τὰ δυσχερῆ τοῦ κοινοτέρου βίου, ἄκουσον οἷα λέγουσιν αἱ τῇ πείρᾳ τὸν βίον γνωρίσασαι, ὅπως μακαρίζουσι τὴν ζωὴν τῶν ἐξ ἀρχῆς τὸν ἐν παρθενίᾳ βίον προελομένων, καὶ μὴ διὰ συμφορᾶς μεταμαθόντων τὸ κάλλιον, ὅτι πάντων τῶν τοιούτων κακῶν ἀνεπίδεκτός ἐστιν ἡ παρθενία. οὐκ ὀρφανίαν θρηνεῖ· οὐ χηρείαν ὀδύρεται· ἀεὶ σύνεστι τῷ ἀφθάρτῳ νυμφίῳ· ἀεὶ ἐπαγάλλεται τοῖς τῆς εὐσεβείας γεννήμασι· τόν τε οἶκον τὸν ἀληθῶς ἴδιον, πᾶσι καλοῖς ἴσοις ὁρᾷ διηνεκῶς εὐθυμουμένην, διὰ τὸ παρεῖναι καὶ ἐνοικεῖν ἀεὶ τὸν τοῦ οἴκου δεσπότην· ἐφ' ἧς ὁ θάνατος οὐ χωρισμόν, ἀλλὰ συνάφειαν τοῦ ποθουμένου ποιεῖ

ὅταν

mortem vſq; fortis. Sin autem tempus calamitati finem faciat, rurſum aliud malum, ſeu liberi ſint, ſeu non ſint: nã ſi ſint, orbi omnino ſunt quare & miſerãdi ſunt, & luctuum per ſe renouant. Sin nõ ſint, iam defuncti memoria funditus peſſum it, malũ conſolatione maius. Omitto cetera vidui atus propria. quis enim omnia accurate recenſeat? hoſtes, neceſſarios, illos calamitati inſultantes, hos ſolitudine triumphantes, & acerbis oculis cũ voluptate intuentes, labantem domum, vernarũ contemptũ, & reliqua omnia quæ in hac malis abunde videre eſt. Quibus rebus plerag, iterum neceſſitate quadam ad eorundem miſeriarum ſortem compulſæ ſunt, qua irridentium acerbitatem nõ ferrent, velut inſeſtos proprius malis vlciſcentes. Multa calamitatum recordatione, quidnam potius ſuſtinent, quam vt ſecundum in eaſdem aerumnas incurrant. Iam verò ſi communioris vitæ mala intelligere vis, audi quid dicant quæ vſu vitam calleant, quantoperè laudent eorum fortunas, qui ab initio virginalem vitam amplexi ſint, nec ſuo malo quid expediat didicerint. Virginitatem ita omnibus miſeriis vacare, non orbitatem lugere, non viduitatem deflere, incorrupto ſponſo aſſidue adeſſe, pietatis fructibus perpetuò gaudere, & domum verè propriam ſemper optimis quibuſque auctam ac fortunatam conſpicere, quòd ſemper adſit ac inhabitet paterfamilias. In ea mortem non diſidium moliri, ſed coniunctionem cum cariſſimo-

Vbi

Philipp 1 7 ὅταν γὰρ ἀναλύσῃ, τότε σὺν χριστῷ γίνεται, καθὼς φησὶν ὁ ἀπόστολος. ἀλλὰ καιρὸς ἂν εἴη, ἐπειδὴ τὰ τῶν εὐθηνουμένων ἐκ μέρους διεξήτασται, καὶ τοὺς ἑτέρους ἐποπτεύσασθαι βίους τῷ λόγῳ, οἷς καὶ πενίαι, καὶ δυσκλήρειαι, καὶ λοιπαὶ τῶν ἀνθρωπίνων παθῶν συμφοραὶ παρεμπεπήγασιν· οἷον πηρώσεις τε καὶ νόσοι, καὶ ὅσα τοιαῦτα τῇ ἀνθρωπίνῃ ζωῇ συγκεκλήρωται· ἐν οἷς ἅπασιν ὁ μὲν καθ᾽ ἑαυτὸν ζῶν, ἢ διαφεύγει τὴν πεῖραν, ἢ ῥᾷον διαφέρει τὴν συμφοράν, συγκεκροτημένην ἔχων περὶ αὐτὸν τὴν διάνοιαν, καὶ πρὸς οὐδὲν ἄλλο ταῖς φροντίσι περιελκόμενος· ὁ δὲ πρὸς γυναῖκα καὶ τέκνα μεμερισμένος, οὐδὲ σχολὴν ἄγει πολλάκις τοῖς ἰδίοις ἐπι-

*Caſtigo περιεχούσης στενάξαι κακοῖς, τῆς τῶν φιλτάτων φροντίδος τὴν καρδίαν *περιηχούσης. ἢ τάχα περιττόν ἐστι τοῖς ὁμολογουμένοις ἐνδιατρίβειν τῷ λόγῳ· εἰ γὰρ τοῖς δοκοῦσι καλοῖς τοσοῦτος πόνος καὶ ταλαιπωρία συνέζευκται, τί ἄν τις περὶ τῶν ἐναντίων στοχάσαιτο, ἣ πᾶσα λόγου ὑπογραφὴ τῆς ἀληθείας ἐλάττων ἐστί. τὸν βίον *αὐ-

*Malim αὐτῶν. τὸν ὑπ᾽ ὄψιν ἀγαγεῖν ἐπιχειρῆσαι· ἀλλ᾽ ἔστιν ἴσως δι᾽ ὀλίγου τὸ πολὺ τῆς κατὰ τὴν ζωὴν ἀηδίας ἐνδείξασθαι, ὅτι ἐναντίως πρὸς τοὺς εὐημερεῖν δοκοῦντας συγκεκληρωμένοι τῷ βίῳ, καὶ τὰς λύπας ἀπὸ τῶν ἐναντίων ἔχουσι.

Vide Eccleſiaſtici caput 41 τοῖς μὲν γὰρ εὐθυμοῦσι, ταράσσει τὸν βίον ὁ προσδοκώμενος ἢ καὶ παραγινόμενος θάνατος· τούτοις δὲ συμφορά ἐστιν ἡ ἀναβολὴ τοῦ θανάτου· καὶ ὁ μὲν βίος αὐτοῖς πρὸς τὸ ἐναντίον διέστηκεν· ἡ δὲ ἀθυμία πρὸς τὸ αὐτὸ πέρας ἀμφοτέροις συμφέρεται. οὕτω πολύτροπός ἐστι καὶ ποικίλη τῶν ἐκ τοῦ γάμου κακῶν ἡ χορηγία· λυποῦσι γὰρ ὁμοίως καὶ γινόμενοι παῖδες καὶ μὴ ἐλπιζόμενοι καὶ πάλιν ζῶντες καὶ ἀποθνήσκοντες. ὁ μὲν γὰρ εὐθηνεῖται παισίν, οὐδὲ τροφῆς ἔχων

ἱκανῶς

Vbi enim migrarit, cum Chriſto eſt, auctore Apoſtolo. Sed iam tempus eſt, quandò aliqua ex parte beatorum conditio excuſſa eſt, reliquas etiam vitas in medium cōtemplari, quibus inopia, infortunia, & ceteræ humanæ ſortis calamitates affixæ ſunt, vt vitia, morbi, & quæ ſimilia hominum vitæ tributa ſunt. In quibus omnibus qui per ſe degat, aut ſenſum effugit, aut æquius ærumnam ſuſtinet, qui mentem apud ſe habeat coactā, neq; alio quóquam cura diſtrahatur. at qui in coniugem ac liberos diſtributus ſit, ei ſæpe ne ſuis quidem malis ingemere integrum eſt, ſollicitudine cariſſimorum animum obſidente. Sed fortaſſe ſuperuacaneum eſt rebus conceſſis inhærere. Nam ſi quæ præclara videantur, in iis tantum ineſt laboris ac ærumnarum, ecquid de contrariis coniectandum eſt? Enimuero omnis verborum deſcriptio longè infra veritatem poſita eſt, quæ eorum vitam ſub aſpectum adducere conetur. Verum poteſt, opinor, ingens vitæ inſuauitas paucis demonſtrari, quandò vitam ſortiti eorum qui fortunati videantur contrariam, ex rebus contrariis dolorem capiunt: nam fortunatis expectata aut etiam ingruens mors vitam turbat, his miſeria eſt mortis extractio. Et vita quidem illis ex aduerſo depugnat, triſtitia tamen vtriſq; in eundem finem conuenit: adeo varia ac multiplex eſt malorum matrimonij ſcaturigo. æquè.n. ſuſcepti liberi ac deſperati dolorē cient, & rurſum viui ac mortui nā hic li-

Emenda dictio.

τῆ φύσεως

ἱκανῶς· τῷ δὲ οὐχ ὑπέστιν ὁ τοῦ κλήρου διάδοχος, ἐπὶ πολλοῖς οἷς ἐμόχθησεν, καὶ ἐν ἀγαθῶν μοίρᾳ τὴν τῶν ἀλλοτρίων ποιεῖται συμφοράν· ἑκάτερος αὐτῶν ἐκεῖνος γλίχεται βουλόμενος, 8 ἐφ' ᾧ δυσφοροῦντα βλέπει τὸν ἕτερον· ᾧ μὲν γὰρ τέθνηκεν *ὁ καθήμερος παῖς, ᾧ δὲ ἐπεβίω ὁ ἄσωτος· ἐλεεινοὶ δὲ ἀμφότεροι, ὁ μὲν τὸν θάνατον τοῦ παιδός, ὁ δὲ τὴν ζωὴν ὀδυρόμενος. ἐῶ ζηλοτυπίας καὶ μάχας, εἴτε ἐξ ἀληθῶν πραγμάτων, εἴτε ἐξ ὑπονοιῶν συνισταμένας, εἰς οἷα πάθη καὶ συμφορὰς καταλήγουσι· τίς γὰρ ἂν πάντα μετὰ ἀκριβείας ἀπαριθμήσαιτο, σὺ δὲ εἰ βούλει μαθεῖν ὅπως ἐμπέπλησται τῶν τοιούτων κακῶν ἡ ἀνθρωπίνη ζωή, μή μοι ἀναλάβῃς τὰ παλαιὰ διηγήματα, ἃ τοῖς ποιηταῖς τῶν δραμάτων τὰς ὑποθέσεις ἔδωκε· μῦθοι γὰρ ἐκεῖνα διὰ τὴν ὑπερβολὴν τῆς ἀτοπίας νομίζονται. ἐν οἷς παιδοφονίαι καὶ τεκνοφαγίαι, φόνοι τε ἀνδρῶν, καὶ μητροκτονίαι, καὶ ἀδελφῶν σφαγαί, καὶ μίξεις παράνομοι, καὶ ἡ παντοδαπὴ τῆς φύσις σύγχυσις, ἣν οἱ τὰ ἀρχαῖα διηγούμενοι ἀπὸ γάμων ἀρχόμενοι τῆς ἀφηγήσεως, εἰς τὰς τοιαύτας συμφορὰς κατέληγον· ἀλλ' ἐκεῖνα πάντα καταλιπών, θεώρησον ἐπὶ τῆς παρούσης τοῦ βίου σκηνῆς τὰς ἐν αὐτῷ τραγῳδίας ὧν χορηγὸς γίνεται τοῖς ἀνθρώποις ὁ γάμος· ἐλθὲ ἐπὶ τὰ δικαστήρια, ἀνάγνωθι τοὺς περὶ τούτων νόμους· ἐκεῖ κατόψει τὰ τῶν γάμων ἀπόρρητα· ὥσπερ γὰρ ὅταν ἰατρῶν ἀκούσῃς τὰ ποικίλα πάθη διεξιόντων, τὴν ἀθλιότητα μανθάνεις τοῦ ἀνθρωπίνου σώματος, οἵων καὶ ὅσων κακῶν δεκτικόν ἐστι διδασκόμενος· οὕτως ἐπειδὰν τοῖς νόμοις ἐντύχῃς, καὶ γνῷς τὰς πολυτρόπους τῶν γάμων παρανομίας, καθ' ὧν ἐκεῖνοι τὰς τιμωρίας ὁρίζουσιν, ἀκριβῶς διδάσκῃ τοῦ γάμου τὰ ἴδια. οὔτε γὰρ ἰατρὸς τὰ μὴ

ὄντα

beris felicitatur, à victu inops, illi nullus eſt qui hereditatem capiat ſummis laboribus quæſitam, & aliorũ calamitatem in bonis collocat· vterq; id eſſe cupiens, in quo alterum laborantem videt. huic enim filius moritur nauus, illi ſuperat prodigus· vterq; miſerandus, alter nati mortem, alter vitam deplorans Nihil dico obtrectationes ac rixas, ſiue illæ ex veris cauſis, ſiue ex ſuſpicione excitatæ ſint, in quæ mala ac miſeriam deſinant. Quis enim omnia accuratè enumeret? Quod ſi vis intelligere, vt hominum vita his malis referta ſit, ne mihi narrationes antiquas, quæ Poetis Tragœdiarum argumenta præbuerunt, euolue. Eæ enim propter inſignem abſurditatem fabulæ cenſentur· in quibus inſint liberorum cædes ac pabula, homicidia, matricidia, fratrum neces, illegitimi coitus, & omnigena confuſio naturæ, quam rerum priſcarum ſcriptores à nuptiis exorſi, in calamitates eas deſinunt. Sed iis omnibus relictis, videſis in hac vita tanquam ſcena eius tragœdias, quarum hominibus largitor ſit matrimonium. Ades ad fora· leges de nuptiis percurre. Ibi demum perſpicies matrimonij arcana. Vt enim ſi medicos audias varios morbos recenſentes, humani corporis miſeriam intelligis, quot quantíſque malis obnoxium ſit edoctus. Eodem modo vbi leges euoluas, & multiplicia nuptiarum flagitia cognoſcas, quibus illæ pœnas ſanciũt, probè perſpexeris quæ propria ſunt matrimonij· neq; enim medicus morbos qui

ὄντα θεραπεύει πάθη, οὔτε νόμος τὰ μὴ γινόμενα θεραπεύει κακά.

Ὅτι πάντα τὰ κατὰ τὸν βίον ἄτοπα τὴν ἀρχὴν ἀπὸ τοῦ γάμου ἔχει· ἐν ᾧ καὶ οἷος ὁ κατὰ ἀλήθειαν ἀποταξάμενος τῷ βίῳ ἐστίν.

ΚΕΦ. Δ΄.

Μᾶλλον δὲ τί χρὴ μικρολόγως τοῦ τοιούτου βίου τὴν ἀτοπίαν ἐλέγχειν, ἐν μόναις μοιχείαις, καὶ διαστάσεσι, καὶ ἐπιβουλαῖς περιορίζοντας τὴν τῶν συμφορῶν ἀρίθμησιν· δοκεῖ γάρ μοι τῷ ὑψηλοτέρῳ καὶ ἀληθεστέρῳ λόγῳ, πᾶσα ἡ τοῦ βίου κακία, ἡ πᾶσι πράγμασι καὶ ἐπιτηδεύμασιν ἐνθεωρουμένη, μηδεμίαν ἑτέραν ἔχειν ἀρχὴν κατὰ τῆς τῶν ἀνθρώπων ζωῆς, εἴ τις ἑαυτὸν μὴ ὑπαγάγοι τῇ ἀνάγκῃ τοῦ βίου τούτου. οὕτω δὲ ἡμῖν ἡ ἀλήθεια τοῦ λόγου φανερωθήσεται· ὁ τὴν τοῦ βίου τούτου ἀπάτην κατανοήσας καθαρῷ τῷ τῆς ψυχῆς ὀφθαλμῷ, καὶ ὑψηλότερος τῶν ἐνταῦθα σπουδαζομένων γενό-
Philipp. 3. μενος· καὶ καθώς φησιν ὁ Ἀπόστολος, καθάπερ τινὰ δυσώδη σκύβαλα πάντα περιορῶν, καὶ τρόπον τινὰ τοῦ βίου παντὸς διὰ τῆς τοῦ γάμου ἀναχωρήσεως ἑαυτὸν ἐξοικίσας, οὐδεμίαν ἔχει κοινωνίαν πρὸς τὰ κακὰ τὰ ἀνθρώπινα· πλεονεξίαν λέγω καὶ φθόνον, ὀργήν τε καὶ μῖσος, καὶ κενῆς δόξης ἐπιθυμίαν, καὶ τὰ ἄλλα ὅσα τοιούτου γένους ἐστί· πάντων δὲ τῶν τοιούτων τὴν ἀτέλειαν ἔχων, καὶ διὰ πάντων ἐλευθεριάζων καὶ εἰρηνεύων τῷ βίῳ, οὐκ ἔστιν ἐφ' ὅτε φιλονεικήσει τοῖς γειτνιῶσι τὸν φθόνον, οὐδενὸς τῶν τοιούτων ἁπτόμενος, οἷς ὁ φθόνος ἐν τῇ ζωῇ προσφύεται· παντὸς γὰρ τοῦ κόσμου τὴν ἑαυτοῦ ζωὴν ὑπεράρας, καὶ μόνον τίμιον ἑαυτῷ κτῆμα νομίζων τὴν ἀρετήν, ἄλυπόν τινα καὶ εἰρηνικὸν καὶ ἀμα-

non ſint, curat, neque lex flagitiis, quæ non admittantur, medetur.

Omnem quæ in vita inſit abſurditatem a matrimonio duci & cuiuſmodi ſit qui vere vitæ nuncium dixerit

CAP. IIII.

SED *quid autem eius vitæ abſurditatē leuiter confirmamus, calamitatum enumeratione ſolis adulteriis, rixis ac inſidiis circūſcribendā? Ita.n. cenſeo (dicā aliquid maius, & verò veriſsimū) omnē vitæ vitioſitatem, quæ in rebus omnibus, ac ſtudiis inhæreat, nullum aditum ad cuiuſquam vitam reperire, qui non ipſe ſub neceſsitatem huius vitæ ſe ſubiiciat. Atque eius quidem dicti veritas ſtatuetur hunc in modum· Qui huius vitæ fallacia puro animi velut oculo comprehenſa, ſupra ea omnia quæ homines ambiant ſe ſuſtollat, atque vt Apoſtolus ait, rebus omnibus velut fœdis ſtercoribus deſpectandis, omni vita, vt ita dicā, per matrimonij fugā cedat, ei nulla ſocietas ſit cum humanis vitiis, auaritia, inquā, inuidia, ira, odio, vanæ gloriæ cupiditate, & quæ id genus alia ſunt. Itaq; ab iis omnibus immunis, atq; à cunctis rebus liber ac compoſitus, nihil habet cur inuidia cum proximis contendat· qui eiuſmodi nihil tractet, quod in vita cum inuidia coniunctum ſit. Qui enim vitam ſuam ſupra vniuerſum mundum ſurrigat, & vnam ſibi virtutem precioſam poſſeſsionem ducat, is placidam,*

ἄμαχον βιώσεται βίον· τῆς γὰρ ἀρετῆς ἡ κτῆσις, κἂν πάντες μετέχωσιν αὐτῆς ἄνθρωποι, κατὰ τὴν ἑαυτοῦ δύναμιν ἕκαστος, ἀεὶ πλήρης τοῖς ἐπιθυμοῦσίν ἐστιν· οὐ κατὰ τὴν ἐπὶ γῆς κτῆσιν, ἣν διαμερισθέντες εἰς τμήματα, ὅσον ἂν προσθῶσι τῇ μιᾷ μερίδι, τοσοῦτον ὑφελόντες τῆς ἑτέρας, καὶ πλεονασμὸς τοῦ ἑνὸς, ἐλάττωσίς ἐστι τοῦ συμμετέχοντος. ὅθεν καὶ αἱ περὶ τοῦ πλείονος μάχαι, διὰ τὸ πρὸς τὸ ἐλαττοῦσθαι μῖσος τοῖς ἀνθρώποις συνίστανται· ἐκείνης δὲ ἀνεπίφθονός ἐστιν ἡ πλεονεξία τοῦ κτήματος, καὶ ὁ τὸ πλεῖον ἁρπάσας, οὐδεμίαν ἤνεγκε ζημίαν τῷ μεταχεῖν ἀξιοῦντι τῶν ἴσων· ἀλλ' ὅσον ἐστί τις χωρητικὸς, αὐτός τε πληροῦται τῆς ἀγαθῆς ἐπιθυμίας, καὶ ὁ πλοῦτος τῶν ἀρετῶν ἐν τοῖς προλαβοῦσιν οὐ καταναλίσκεται. ὁ τοίνυν πρὸς τοῦτον ἀποβλέπων τὸν βίον, καὶ τὴν ἀρετὴν ἑαυτῷ θησαυρίζων, ἣν οὐδεὶς ὅρος ἀνθρώπινος περιγράφει, ἆρα καταδέξεταί ποτε πρός τι τῶν ταπεινῶν καὶ πεπατημένων τὴν ἑαυτοῦ ψυχὴν ἐπικλῖναι; ἆρα θαυμάσεται τὸν γήϊνον πλοῦτον, ἢ δυναστείαν ἀνθρωπίνην, ἢ ἄλλο τι τῶν ὑπ' ἀνοίας σπουδαζομένων. εἰ μὲν γάρ τις ἔτι περὶ ταῦτα διάκειται ταπεινῶς, ἔξω τοῦ τοιούτου ἂν εἴη χοροῦ, καὶ οὐδὲν πρὸς τὸν ἡμέτερον ἐστὶ λόγον. εἰ δὲ τὰ ἄνω φρονεῖ, καὶ συμμετεωροπορεῖ τῷ θεῷ, ὑψηλότερος πάντως τῶν τοιούτων ἐστὶν, οὐκ ἔχων τὴν κοινὴν ἀφορμὴν τῆς περὶ ταῦτα πλάνης, τὸν γάμον λέγω. τοῦ γὰρ ὑπὲρ τοὺς ἄλλους θέλειν εἶναι, τὸ χαλεπὸν τοῦτο πάθος ἡ ὑπερηφανία, ὃ δὴ μάλιστα σπέρμα τις εἰπὼν ἢ ῥίζαν πάσης τῆς κατὰ τὴν ἁμαρτίαν ἀκάνθης τοῦ εἰκότως οὐχ ἁμαρτήσεται, τοῦτο μάλιστα ἐκ τῆς αἰτίας τοῦ γάμου τὴν ἀρχὴν ἔχει. οὐ γὰρ ἔστιν ὡς ἐπὶ τὸ πολὺ, τὸν πλεονεκτεῖν μὴ τοὺς πέλας ἐπαιτιᾶσθαι, ἢ τὸν δοξομανῆ καὶ φιλότιμον

Coloſſ. 3

[illegible]

μὴ εἰς

& ſine dolore atque rixa vitam deget. Nam virtutis poſſeſſio, vt eam vel omnes mortales acquirant, quiſque pro viribꝰ ſemper plena eſt ſui ſtudioſis ſecus quã in hac terrena, qua in partes erciſcunda, quantum vni addas, tãtum alteri ſubtrahas, & alterius auctarium, ſocij detrimentum ſit. Hinc illa plus habendi contẽtiones hominibus propter odiũ manus habendi excitatæ ſunt. At verò hic ſtudiũ plus habendi extra inuidiam eſt, & qui potiores auferat, nullũ alteri qui tantũdem repetat damnum infert, ſed quantũ quiſq; capere poteſt, cùm abunde voto ſatisfit, tum opes virtutis in priores non inſumuntur. Quare qui ad eam vitam reſpiciet, & virtutem ſibi congerat, quam humanus nullus finis circumſcribat, ecquid vnquam ſuſtinebit animũ ſuum ad rem vllam proletariam ac ſordidam adiicere? ecquid terrenas opes ſuſpiciet, aut humanam potentiam, aut aliam rem vllam quæ imperitè ambiatur? Quod ſi quis enim ſus rebus adhuc ſordidè afficitur, is extra hunc cœtum ſit, neq; ei cum eo quod dicimus quicquam rei ſit. ſin autem quæ ſuprà ſunt ſapiat, & cũ Deo ſublimis verſetur, plane is reb. ſuperior eſt, nõ habens commune erroris, qui in is inhæreat, occaſionẽ, matrimonij inquã. Nam ſtudiũ alius præſtandi, dirũ illud vitiũ ſuperbia, quã qui vel maximè fugiũt ac radicẽ ſpinæ vitiorũ aſſerat, a veriſimili nõ aberret, id inquam potiſſimũ originẽ ducit à matrimonio. ſæpe enim non habet auarus in quẽ culpã cõferat, niſi

μὴ εἰς τὸ γένος ἀνενεγκεῖν τοῦ κακοῦ τὴν αἰτίαν· ὡς ἂν μὴ ἐλάττων δοκοίη τῶν περὶ αὐτοῦ γεγονότων, καὶ ἵνα μείζονας τοὺς μετὰ ταῦτα νομίζοιτο, καταλιπὼν τινὰ τοῖς ἐξ αὐτοῦ διηγήματα· ὡσαύτως δὲ καὶ τὰ λοιπὰ ὅσα ψυχῆς ἐστιν ἀρρωστήματα, φθόνος, καὶ μνησικακία, καὶ μῖσος, καὶ εἴ τι τοιοῦτον ἕτερον τῆς αὐτῆς αἰτίας ἤρτηται· πάντα γὰρ ταῦτα τοῖς περὶ τὸν βίον τοῦτον ἐπτοημένοις συμπολιτεύεται· ὧν ὁ ἔξω γενόμενος, καθάπερ ἐπί τινος ὑψηλῆς σκοπιᾶς πόρρωθεν ἐποπτεύων τὰ ἀνθρώπινα πάθη, οἰκτείρει τῆς τυφλότητος τοὺς τῇ τοιαύτῃ ματαιότητι δεδουλωμένους, καὶ μέγα κρίνοντας τὴν τοῦ σώματος εὐπραγίαν· ὅταν γάρ τινα τῶν ἀνθρώπων ἐπί τινι τῶν κατὰ τὸν βίον ἤδη περιβλέπτων, ἀξιώμασιν, ἢ πλούτοις, ἢ δυναστείαις κομῶντα, καταγελᾷ τῆς ἀνοίας τῶν διὰ ταῦτα πεφυσημένων, καὶ ἀριθμεῖ τὸν μήκιστον χρόνον τοῦ ἀνθρω-

Psal. 89. πίνου βίου, κατὰ τὴν εἰρημένην ὑπὸ τοῦ ψαλμῳδοῦ προθεσμίαν· εἶτα παραμετρεῖ τοῖς ἀπείροις αἰῶσι τὸ ἀκαριαῖον τοῦτο διάστημα, ἐλεεῖ τῆς χαυνότητος τὸν ἐπὶ τοῖς οὕτω γλίσχροις καὶ ταπεινοῖς καὶ προσκαίροις τὴν ψυχὴν ἐπαιρόμενον. τί γὰρ ἄξιον ἐστὶ μακαρισμοῦ τῶν ἐνταῦθα; ἡ τιμή, τὸ παρὰ πολλοῖς σπουδαζό-

Ἐπειδὴ loco [illegible] μενον; ἐπειδὴ τί πλέον τοῖς τετιμημένοις προσγίνεται; διαμένει γὰρ θνητὸς ὁ θνητός, κἂν τιμᾶται, κἂν μή· ἢ τὸ, πολλὰ πλέθρα κεκτῆσθαι γῆς, τοῦτο δὲ εἰς τί πέρας χρηστὸν καταλήγει τοῖς κεκτημένοις, ἐκτὸς τοῦ οἴεσθαι τὸν ἀνόητον ἑαυτοῦ εἶναι τὰ μηδὲν

Psal. 24. προσήκοντα, ἀγνοεῖ γὰρ ὡς ἔοικεν ὑπὸ πολλῆς λαιμαργίας, ὅτι τοῦ κυρίου μέν ἐστιν ἡ γῆ ἀληθῶς, καὶ τὸ πλήρωμα αὐτῆς· βασιλεὺς

Cap. 5 γὰρ πάσης τῆς γῆς ὁ θεός· τοῖς δὲ ἀνθρώποις τὸ τῆς πλεονεξίας πάθος ψευδώνυμον τῆς κυριότητος τὴν προσηγορίαν δίδωσι.

τῶν

niſi in affines: nec verò qui gloria ardeat, ac ambitioſus, in quē mali cauſam reiiciat, niſi in genus, ne deceſſoribus ſuis minor videatur, et apud poſteros magnus habeatur, relicta ſui nominis fama nepotibus. Eadē ratio valet & in ceteris animi morbis, inuidia, iniuriarū recordatione, odio, et ſi quid aliud eiuſmodi ab eadē cauſa pēdet. Hæc .n omnia inter eos qui ad hāc vitā obſtupeāt, verſantur. Quibus qui ſe ſubducat, velut è præcelſa quadā ſpecula hominū vitiis procul cōſpectis, cæcitatē miſeratur eorū q vanitati ei mancipati ſint, & corporis felicitatē egregiū aliquid ducāt. Etenim hominē vidēs re vlla quæ in vitā incidat inſignē, dignitate, opib. aut potētia florentē, amētiā ridet eorū qui ꝓptereà turgeāt, et lōgiſſimū humanæ vitæ tēpus, vt eſt à Pſalmodo velut ꝑpetuo quodā edicto conſtitutū, recēſens, tū momētaneū id ſpaciū cū infinitis ſeculis cōferēs oſcitantia miſeratur eius qui rebus tā lubricis et abiectis ac tēporariis animos tollat. Quid eſt .n. in his rebus prædicādū? Honor, quē videlicet multi ambiāt? Et quid autē amplius addit honoratis? manet .n. q mortalis ſit, mortalis, ſeu honoratus ſit, ſeu nō ſit. An multa terræ iugera tenere? Id autē in quē bonū finē poſſeſſoribus cedit, præterquā ꝙ inſanus ſua credit, quæ ad ſe nō pertineant? Ignorat .n. vt videtur graui ſtupore, Terrā vere Dñi eſſe, et vniu[illegible]as et [illegible]opes. Eſt .n. Deus totius terræ rex hominibus [illegible] tia falsā domin[illegible] appellationē tribuit rer[illegible] ad eos nō pertineāt. Terra quidē,

τῶν οὐδὲν προσηκόντων· ἡ μὲν γὰρ γῆ, καθώς φησιν ὁ σοφὸς Ἐκκλη-
σιαστής, εἰς τὸν αἰῶνα ἕστηκε, πάσαις ὑπηρετοῦσα ταῖς γενεαῖς, καὶ
ἄλλοτε ἄλλους τοὺς κατ' αὐτὴν γινομένους ἐντρέφουσα· οἱ δὲ ἄν-
θρωποι οὐδὲ ἑαυτῶν ὄντες κύριοι, ἀλλὰ πρὸς τὸ τοῦ ἄγοντος βούλη-
μα, ὅτε οὐκ ἴσασιν, εἰς τὴν ζωὴν παριόντες, καὶ ὅτε μὴ βούλον-
ται, πάλιν αὐτῆς χωριζόμενοι, ὑπὸ τῆς πολλῆς ματαιότητος
*γρ. δεσπόζο- μεν. κυριεύειν οἴονται αὐτῆς, οἱ κατὰ καιρὸν γινόμενοί τε καὶ ἀπολ-
λυόμενοι, τῆς ἀεὶ μενούσης. ὁ οὖν ἐπεσκεμμένος ταῦτα, καὶ διὰ
τοῦτο περιφρονῶν ὅσα τίμια τοῖς ἀνθρώποις νομίζεται· μό-
Esa. 40 νης δὲ τῆς θείας ζωῆς ἔχων τὸν ἔρωτα, ὁ εἰδὼς ὅτι πᾶσα σὰρξ
χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου, πότε σπου-
*Matth. 6 δῆς ἄξιον τὸν χόρτον ἡγήσεται τὸν σήμερον ὄντα, καὶ αὔριον οὐκ
ἐσόμενον· οἶδε γὰρ ὁ ἐπεσκεμμένος τὰ θεῖα καλῶς, ὅτι οὐ τὰ
ἀνθρώπινα μόνον οὐκ ἔχει τὸ πάγιον, ἀλλ' ὡς οὐδὲ τοῦ κόσμου πάν-
τος εἰς τὸ διηνεκὲς ἠρεμήσοντος· διὰ τοῦτο ὡς ἀλλοτρίας καὶ προσ-
Matth. 5 καίρου ταύτης ὑπερορᾷ τῆς ζωῆς· ἐπειδὴ ὁ οὐρανὸς καὶ ἡ γῆ παρε-
λεύσεται, κατὰ τὴν τοῦ σωτῆρος φωνήν, καὶ πάντα τὴν μεταστοιχείω-
2. Cor. 5 σιν ἀναγκαίως ἐκδέχεται· διὰ τοῦτο ἕως ἐστὶν ἐν τῷ σκήνει, κα-
θώς φησιν ὁ ἀπόστολος, τὸ πρόσκαιρον ἐνδημούμενος, βαρού-
μενος τὴν παροῦσαν ζωήν, τὴν μακρυνθεῖσαν αὐτῷ τὴν παροι-
κίαν ταύτην ὀδύρεται, ὥσπερ καὶ ὁ ψαλμῳδὸς ἐν ᾠδαῖς θείαις
λέγων πεποίηται· ὄντως γὰρ ἐν σκότῳ βιοτεύουσιν οἱ μετὰ τῶν
σκηνωμάτων τούτων τῇ ζωῇ παροικοῦντες. οὗ χάριν στενάξας
Psal. 119. ὁ προφήτης πρὸς τὴν παράτασιν τῆς παροικίας, οἴμοι φησὶν ὅτι ἡ
παροικία μου ἐμακρύνθη· σκότῳ δὲ τὴν αἰτίαν τῆς κατηφείας
ταύτης ἀνέθηκε· τὸ γὰρ σκότος τῇ ἑβραΐδι φωνῇ κηδὰρ ὀνομά-
*Forte leg. [illegible] ζεσθαι μεμαθήκαμεν. ὅ γὰρ οὐκ ἀληθῶς, καθάπερ αἱρεσίᾳ

vt ait ſapiens Eccleſiaſtes, in omnem æternitatem fixa eſt, ſeculis omnibus ſuppeditans, & alios ſemper atque alios in ſe genitos alens; Homines nec ſui ipſorum quidem domini, ſed ad [v] ducentis arbitrium, cum neſciunt, vitam ineuntes, cum nolunt, rurſum eadem cedentes, inſigni ſtultitia ſe terræ dominari credunt, qui viciſſim naſcantur ac intereant, eius quæ ſemper maneat. Hæc qui perſpiciat, atque ideo quæcunque homines precioſa exiſtiment, proijciat, ſolius diuinæ vitæ ſtudioſus· qui intelligat omnes mortales fœnum eſſe, eorumq́; gloriam omnem fœni florem, ecquid fœnum ſtudio dignum cenſebit, quod hodie eſt, nec cras erit? Videt nimirũ qui diuina probe diſpiciat, non humana tantum nihil firmi habere, ſed nec orbem quidem æternum conſiſtere, eóque vitam hanc velut alienã ac temporalẽ contemnit. Nam cælum, inquit Soſpitator, et terra peribunt, & omnia neceſſariò reformationem expectant. Itaque quandiu in tabernaculo eſt, vt loquitur Apoſtolus breuitatem notans, præſentis vitæ tædio, peregrinationem hanc prorogari ſibi dolet. quod & Pſalmodus quoq; in ſacris odis queri fingitur. Verè enim in tenebris degũt, qui cum his tabernaculis in vita peregrinentur. Quare ingemiſcens Vates ad peregrinationis diuturnitatem, Hei mihi, inquit, qui tandiu peregriner. Mœroris verò cauſam tenebris aſcribit. nã tenebras Cedar Hebraicè nominari didicimus· Re vera enim homines velut caligine quadam

[v] Ducit volentem fata, nolentem trahunt.

νῇ συγκεχυμένῃ κεκρατημένοι ἄνθρωποι, οὕτω πρὸς τὴν τῆς ἀπάτης ἐπιγνῶσιν ἀμβλυωποῦσιν, οὐκ εἰδότες ὅτι πάντα ὅσα τίμια ἐν τῇ ζωῇ ταύτῃ νενόμισται, ἢ καὶ ὅσα πρὸς τὸ ἐναντίον ὑπείληπται, ἐν μόνῃ τῇ ὑπολήψει τῶν ἀνοήτων ὑφέστηκεν, αὐτὰ δ' ἑαυτῶν ἐστιν οὐδαμῇ οὐδέν· οὐ δυσγένεια τις, οὐκ εὐδοκίμησις γένους, οὐ δόξα, οὐ περιφάνεια· οὐ τὰ παλαιὰ διηγήματα, οὐχ ὁ ἐπὶ τοῖς ἐνεστῶσι τῦφος· οὐ τὸ κρατεῖν ἑτέρων, οὐ τὸ ὑποχείριον εἶναι· πλοῦτοί τε καὶ τρυφαί, καὶ πενίαι καὶ ἀπορίαι, καὶ πᾶσαι αἱ τοῦ βίου ἀνωμαλίαι, τοῖς μὲν ἀπαιδεύτοις πάμπολυ διαφέρειν δοκοῦσιν, ὅταν ἡδονὴν ποιῶνται τῶν τοιούτων κριτήριον· τῷ δὲ ὑψηλῷ τὴν διάνοιαν πάντα ὁμότιμα φαίνεται, καὶ οὐδὲν προτιμότερον τοῦ ἑτέρου τὸ ἕτερον, τῷ ὁμοίως διὰ τῶν ἐναντίων τὸν τῆς ζωῆς δρόμον ἀνύεσθαι, καὶ ἴσην ἐν ἑκατέρᾳ τῶν λήξεων τὴν πρὸς τὸ εὖ ἢ κακῶς ζῆν δύναμιν ἐνυπάρχειν, διὰ τῶν δεξιῶν ὅπλων καὶ ἀριστερῶν φησὶν ὁ ἀπόστολος, διὰ δόξης καὶ ἀτιμίας. δι' ὧν ὁ μὲν κεκαθαρμένος τὸν νοῦν καὶ ἐπεσκεμμένος τὴν τῶν ὄντων ἀλήθειαν, ὀρθῶς ὁδεύσει τὴν πορείαν ἀπὸ γενέσεως μέχρι τῆς ἐξόδου τὸν τεταγμένον αὐτῷ χρόνον διεξερχόμενος·

9 *ἀλλὰ κατὰ τὴν τῶν ὁδοιπόρων συνήθειαν τοῦ πρόσω ἐχόμενος, ὀλίγον ποιεῖται τῶν παραφαινομένων τὸν λόγον, συνήθες γὰρ τοῖς ὁδοιποροῦσιν ἐπὶ τὸ τῆς ὁδοῦ πέρας ὁμοίως ἐπείγεσθαι, εἴτε διὰ λειμώνων καὶ συμφύτων χωρίων, εἴτε δι' ἐρημοτέρων καὶ τραχυτέρων τόπων διέρχονται, καὶ οὔτε τὸ ἡδὺ παρακατέχει, οὔτε τὸ ἀηδὲς ἐνεποδίζεν· οὕτω καὶ αὐτὸς ἀμεταστρεπτὶ πρὸς τὸν προκείμενον σκοπὸν ἑαυτὸν ἐπείγεται, πρὸς οὐδὲν τῶν παρόδων ἐπιστρεφόμενος· ἀλλὰ πρὸς μόνον οὐρανὸν βλέπων διαπεραιοῦται τὸν βίον

[illegible]

deest in [illegible]

2 Cor 6.

ʾ Castigo [illegible]

nocturna occupati, ita in animaduertēda fallacia cæcutiūt, qui ignorent, quæ in hac vita precioſa habeantur, aut in contrariū ſuſpicionibus trahantur, ea imperitorū tantū exiſtimatione cohærere, per ſe ipſa verò nuſquam quicquam eſſe. Non ignobilitas aliquid eſt, non generis ſplendor, non gloria, non claritas, nō antiquitates, nō tumor diuitiarū, non aliis imperare, nō mancipi eſſe. Opes verò ac deliciæ, & paupertas ac inopia, omneſq; vitæ inæqualitates, imperitis videntur illæ quidem plurimū diſcrepare, qui voluptatem earū rerum iudicem deſignent. At qui ingenio ſublimi ſit, ei omnia eodem loco ſunt, nec plane alterū altero antiquius· quandò vitæ curriculum æquè per ea quæ depugnent, conficitur, & par ineſt momentū in vtrauis conditione ad bene aut male viuendū, per dextra arma ac ſiniſtra, inquit Apoſtolus, per gloriā & dedecus· per quæ catus ille rerū veritatis, & cui animus ſit purgatus. rectis itineribus contendet, ab ortu ad exitum vſq; præfixo ſibi tempore perágrans. ſed viatorum more vlterius tendens, res oblatas minimi ducet· ſolent enim viatores ad viæ finem properare, ſiue per prata & conſitas regiones, ſiue per deſerta & teſqua iter faciant, neque aut voluptas detinet, aut inſuauitas impedit. Eodem modo & hic noſter ad propoſitum ſibi finem rectà feſtinabit, neque ad ea ſe quæ ſecundum viam ſint conuertet, ſed vnum cælum reſpectans vitam exiget, velut prudens gubernator

ad ſub-

τὸν βίον, καθάπερ τις κυβερνήτης ἀγαθὸς πρὸς τὸν ἄνω σκοπὸν διευθύνων τὸ σκάφος· ὁ δὲ παχὺς τὴν διάνοιαν, καὶ κάτω βλέπων, καὶ συγκεκυφὼς τῇ ψυχῇ πρὸς τὰ ἡδέα τοῦ σώματος, καθάπερ πρὸς τὴν νομὴν τὰ βοσκήματα, μόνῃ τῇ γαστρὶ, καὶ τοῖς
10 μετὰ γαστέρα ζῶν, ἀπηλλοτριωμένος τοῦ θεοῦ τῆς ζωῆς, καὶ ξένος τῶν διαθηκῶν τῆς ἐπαγγελίας, οὐδὲν ἕτερον ἀγαθὸν εἶναι νομίζων, ἢ τὸ, ἡσθῆναι διὰ τοῦ σώματος, οὗτός ἐστιν, καὶ πᾶς ὁ τοιοῦτος, ὁ ἐν σκότει διαπορευόμενος, καθώς φησιν ἡ γραφή, ὁ τῶν ἐν τῷ βίῳ τούτῳ κακῶν αἱρετής· ἐν τούτοις γὰρ καὶ πλεονεξία, καὶ παθῶν ἀκολασία, καὶ ἡ πρὸς τὰς ἡδονὰς ἀμετρία, φιλαρχία τε πᾶσα, καὶ καινῆς δόξης ἐπιθυμία, καὶ ὁ λοιπὸς ὅμιλος τῶν συνοικούντων παθῶν τοῖς ἀνθρώποις· ἔχεται γάρ πως ἐν τοῖς κακοῖς τοῦ ἑτέρου τὸ ἕτερον, καὶ ὥσπερ διὰ τὸ ἓν περιάγεται, καὶ τὰ λοιπὰ καθάπερ ὑπό τινος φυσικῆς ἀνάγκης ἑλκόμενα, συνεισέρχεται πάντως οἷον ἐν ἁλύσει γίνεται, τῆς ἀρχῆς ἐπισπασθείσης, οὐδὲ τὰς λοιπὰς ἠρεμεῖν τῆς ἁλύσεως ἀγκύλας δυνατόν ἐστιν, ἀλλ᾽ ἡ μετὰ τὸ ἕτερον πέρας τῆς ἁλύσεως ἀγκύλη, συνεκινήθη τῇ πρώτῃ, μετὰ τὸ ἀκόλουθον ἀεὶ καὶ προσεχὲς ἀπὸ τῆς πρώτης διὰ τῶν παρακειμένων τῆς κινήσεως προϊούσης· οὕτως ἐμπέπλεκται καὶ συμπέφυκεν ἀλλήλοις τὰ ἀνθρώπινα πάθη, καὶ δι᾽ ἑνὸς τοῦ ἐπικρατήσαντος, καὶ ὁ λοιπὸς τῶν κακῶν ὄχλος συνεισέρχεται τῇ ψυχῇ καὶ εἰ χρή τι διαγράφειν τὴν πονηρὰν ταύτην ἅλυσιν, ὑποθοῦ τινὰ διὰ λίχνον ἡδονῆς τοῦ μετὰ τὴν κενοδοξίαν ἠλιθιεῦσαι πάθους· ἀλλὰ τῇ κενοδοξίᾳ καὶ ἡ τοῦ πλείονος ἔφεσις συνηκολούθησεν· οὐ γάρ ἐστι πλεονεκτεῖν γενέσθαι μὴ ἐκείνης ἐπὶ τὸ πάθος χειραγωγούσης· εἶτα ἡ τοῦ πλεονεκτεῖν καὶ περιέχειν ἐπιθυμία,

ὀργὴν

a Ephes.4.

b Ephes.2.

Ecclesiast. 2. Psal. 8. Iohan.8. & 12. & alibi ſæpe.

τῆς κενῆς

[illegible]

ad ſublimem ſcopum nauim dirigens. Alter verò ille ingenio pingui, & qui pronus ſpectet, cuiq; mens ad corporis voluptates ſit obſtipa, ceu ad pabulum pecudes, ſoli ventri & iis quæ ventri coniuncta ſint viuens, à diuina vita alienus, exors fœderum promiſſionis nihil aliud bonum cenſens quàm corpore deliniri, hic ille eſt, & quiſquis ei ſimilis eſt, qui in tenebris graditur, vt aiunt litteræ, malorum quæ in vita inhæreant inuentor. In his enim & ſtudium plus habendi, & affectuum impotentia, & voluptatum immoderatio, & ambitio, & inanis gloriæ cupiditas, & reliqua turba vitiorum, quæ hominibus inteſtina ſunt. Hærent enim inuicem flagitia, & qui vnum contraxerit, in eum cetera quoq; velut neceſſitate quadam naturali pertracta, inuadunt quale quid in catena vſu venit, & principio attracto, reliqua catenæ anſæ ſtare etiam non poſſunt, ſed proximæ anſa priorem excipit, motu ſemper à prima ad proximam ſerie quadam ac ſequela progrediente. Eodem modo & vitia humana inuicem nexa ac concreta ſunt, & vno victore, reliquum quoque examen vitiorum in animum inuadit. Quod ſi deſcribenda etiam eſt flagitioſa hæc catena, age pone aliquem per voluptatem vllam vitio cupiditatis vanæ gloriæ frangi. Atenim vanæ gloriæ cupiditatem etiam plus habendi deſiderium conſequitur: neque enim poteſt plus habendi deſiderio ardere, quem nō illa eò manuducat. Iam ſtudium

plus

ἢ ὀργὴν διεξάπτει πρὸς τὸ ὁμόφυλον, ἢ πρὸς τὸ ὑποχείριον τὴν
ὑπερηφανίαν, ἢ πρὸς τὸ ὑπερέχον τὸν φθόνον· φθόνου δὲ ἀκόλουθος
ἡ ὑπόκρισις γίνεται· ἐκείνης ἡ πικρία· ταύτης ἡ μισανθρωπία·
τούτων ἁπάντων τὸ τέλος κατάκρισις, εἰς γέενναν, καὶ
σκότος, καὶ πῦρ καταλήγουσα. ὁρᾷς τὸν ὁλκὸν τῶν κακῶν, ὅπως
ἑνὸς τὰ πάντα τοῦ κατὰ τὴν ἡδονὴν διεξέρχεται πάθους; ἐπειδὴ οὖν
ἅπαξ εἰσῆλθεν εἰς τὸν βίον ἡ ἀκολουθία τῶν τοιούτων παθῶν,
2. Tim. 3 μίαν ὁρῶμεν ἐκ τῆς τῶν θεοπνεύστων γραφῶν συμβουλῆς τὴν
διέξοδον τούτων, τὸ χωρισθῆναι τοῦ τοιούτου βίου, τοῦ συνημμένην
ἔχοντος ἐν ἑαυτῷ τὴν τῶν μιαρῶν ἀκολούθησιν· οὐκ ἔστι γὰρ ἐν
Genes. 19 Σοδόμοις φιλοχωρήσαντα διαφυγεῖν τὴν τοῦ πυρὸς ἐπομβρίαν·
οὐδὲ τὸν ἔξω Σοδόμων γενόμενον, εἶτα πάλιν ἐπιστρέφοντα πρὸς
τὴν ἐρήμωσιν ταύτης, μὴ παγῆναι στήλην ἁλός· ἀλλ' οὐδὲ τῆς
αἰγυπτίων δουλείας ἀπαλλαγήσεται, ὁ μὴ καταλιπὼν τὴν αἴγυπτον,
τὴν ὑποβρύχιον λέγω ταύτην ζωὴν καὶ διαβάς, οὐχὶ τὴν
ἐρυθρὰν ἐκείνην, ἀλλ' αὐτὴν μέλαιναν ταύτην καὶ ζοφώδη τοῦ βίου
Iohan. 8 θάλασσαν. εἰ δὲ καθώς φησιν ὁ κύριος, ἐὰν μὴ ἐλευθερώσῃ ἡμᾶς
ἡ ἀλήθεια, τῷ κακῷ τῆς δουλείας ἐναπομενοῦμεν, πῶς
ἔστιν ἐν τῇ ἀληθείᾳ γενέσθαι, τὸν ζητοῦντα ψεῦδος, καὶ ἐν τῇ πλάνῃ
τοῦ βίου ἀναστρεφόμενον; πῶς δέ τις τὴν δουλείαν ἀποδράσει,
ὁ ταῖς ἀνάγκαις τῆς φύσεως ὑποχείριον δοὺς τὴν ἰδίαν ζωήν; γνωριμώτερον
δ' ἂν γένοιτο ἡμῖν διά τινος παραδείγματος ὁ περὶ
11 τούτων λόγος. ὥσπερ τις ποταμὸς χειμέρριος ῥεύματι τραχυνόμενος,
καὶ κατὰ τὴν ἑαυτοῦ φερόμενος φύσιν, ξύλα τε καὶ λίθους, καὶ
πᾶν τὸ παρατυχὸν ὑπολαμβάνων τῷ ῥείθρῳ, μόνοις τοῖς κατ'
αὐτὸν γινομένοις σφαλερὸς καὶ κινδυνώδης ἐστι, τοῖς δὲ πόρρωθεν

αὐτὸν

plus habendi ac præſtandi, aut iram ſuſcitat in contribules, aut ſubditorũ deſpicientiam, aut inuidiam in ſuperiores. Inuidiæ comes eſt ſimulatio, illius ſimultas, huius hominũ odium. Horum omniũ finis eſt damnatio, in Gehennam ac tenebras, & ignem deſinens. Viden ſcelerũ examẽ, vt ex vno voluptatis flagitio omnia emanẽt? Itaq; quoniã ſemel eiuſmodi vitiorum ſeries in vitam peruaſit, vnũ videmus eorum, ex cõſilio ſcriptorũ diuinitùs inſpiratorũ, effugiũ, vt ab ea vita abſiſtamus, quæ ex ſe aptam quaſiq; colligatam habeat malorum conſecutionem. Neq; enim poteſt igneũ imbrem ſubterfugere, qui Sodomis verſetur, nec qui Sodomis egreſſus, iterum ſe ad vrbis excidium conuertat, in ſtatuã ſalis non concreſcere. Nec verò Ægyptiam ſeruitutem excutiet, qui Ægyptum non relinquat, id eſt, liquidam hanc vitam, & traiiciat non illud Rubrum, ſed atrum hoc ac caliginoſum vita mare. Quod ſi vt ait Dominus, niſi nos veritas aſſerat in libertatem, in ſeruitutis miſeria degimus, qui tandem poteſt eſſe in veritate, qui mendacium quærat, atq; in vita fallacia verſetur? quomódo autem ſeruitutem fugiet, qui naturæ neceſſitatibus vitam ſuã mancipet? Sed fiet quod dicimus exemplo illuſtrius. Vt hibernus fluuius aſperùm fluens, natura ſua vi incitatus, ligna, lapides, & quicquid obuium eſt flumine arripiens, iis tantùm qui in eo ſint damnoſus eſt ac periculoſus: at qui procul eum vitent, iis nequic-

αὐτὸν φυλασσομένοις εἰκῇ ῥεῖ. οὕτω καὶ τὴν τοῦ βίου περιοχὴν ὁ
κατ᾽ αὐτὴν γεγονὼς μόνος ὑφίσταται, καὶ μόνος ἀναδέχεται
καθ᾽ ἑαυτὸν τὰ πάθη, ἅπερ ἂν ἡ φύσις ἀκολούθως ἑαυτῇ ῥέουσα
τοῖς δι᾽ αὐτῆς πορευομένοις ἀναγκαίως ἐπάγεται, διὰ τῶν τοῦ
Psal. 123 βίου κακῶν ἐπικλύζουσα· εἰ δέ τις καταλίποι τὸν χειμάρρουν
τοῦτον, ὥς φησιν ἡ γραφή, καὶ τὸ ὕδωρ τὸ ἀνυπόστατον, ἔξω πάντως
ἔσται, κατὰ τὴν τῆς ᾠδῆς ἀκολουθίαν, τῆς ἐπηρείας τῶν ὀδόντων τοῦ ἔθνους, καθάπερ
στρουθίον τῇ τῆς ἀρετῆς πτέρυγι διαπτὰς τὴν παγίδα· ἐπειδὴ
γὰρ κατὰ τὸ ῥηθὲν ἡμῖν ἐπὶ τοῦ χειμάρρου ὑπόδειγμα, παντοίαις ταραχαῖς
καὶ ἀνωμαλίαις πλημμυρῶν ὁ ἀνθρώπινος βίος ἀεὶ φέρεται,
κατὰ τοῦ πρανοῦς τῆς φύσεως προερχόμενος, καὶ οὐδὲν ἕστηκε τῶν
ἐν αὐτῷ σπουδαζομένων, οὐδὲ ἀναμένει τὴν πλησμονὴν τῶν ἐπιθυμούντων
αὐτῶν· πάντα δὲ τὰ προσεγγίζοντα ὁμοῦ τε προσήγγισε,
καὶ θίγοντα παρέδραμε, καὶ τὸ ἀεὶ παρὸν τῇ σφοδρότητι τῆς
Ἐπιρρέα τοῦ ῥεύματος ἁρπαζομένου. παρόδου διαφεύγει τὴν αἴσθησιν, ὑπὸ τῆς κατόπιν ἐπιρροῆς τὸν
ὀφθαλμὸν ἁρπαζόμενον· διὰ τοῦτο λυσιτελὲς ἂν εἴη πόρρω τοῦ
τοιούτου ῥεύματος ἑαυτοὺς ἀνέχειν, ὡς ἂν μὴ τῶν ἀστάτων περιεχόμενοι
τῶν ἀεὶ ἑστώτων ὀλιγωρήσαιμεν· πῶς γάρ ἐστι τὸν προσπαθοῦντά
τινι τῶν ἐν τῷ βίῳ τούτῳ, διατελοῦς ἔχειν τὸ ποθούμενον;
τί τῶν μάλιστα σπουδαζομένων εἰς ἀεὶ παραμένει τοιοῦτον;
ἴσ. τίς. ποία νεότητος ἀκμή; ´ τῆς δυνάμεως ἢ μορφῆς εὐημερία; τίς
πλοῦτος, ποία δόξα, τίς δυναστεία; οὐ πάντα τὰ τοιαῦτα μικρὸν
ἀνθήσαντα χρόνον πάλιν ἀπέρρυη, καὶ πρὸς τὴν ἐναντίαν ἐπωνυμίαν
μετέπεσε; τίς ἐνεβίω διαπαντὸς τῇ νεότητι; τίνι διήρκεσε
διατελοῦς ἡ δύναμις; τὸ δὲ τοῦ κάλλους ἄνθος ἆρ᾽ οὐχὶ καὶ
αὐτῶν τῶν κατὰ τὸ ἔαρ προφαινομένων ὠκυμορώτερον ἡ φύσις
ἐποίησε;

quam fluit. Ita & vita turbas quæ in ea ſit ſolùm ſuſtinet, in eaſq; calamitates ſe induit, quas natura ſibi cõſequenter fluens, neceſſariò per ſe tendentibus conciliat, iis, vita malis, tanquam inundandis. Porrò autem qui torrentem hunc, vt littera vocãt, et impotentes aquas deſerat, is omnino, vt in oda ſubiicitur, nõ ſit vita dentibus præda, velut paſſer virtutis ala laqueũ perrũpens. Quoniã enim ad propoſitũ à nobis exemplũ torrentis, hominũ vita omnigenis turbis ac inæqualitatibus exũdans ſemper labitur, & velut per decliuia natura promanat, nec quicquam conſiſtit rerũ quæ in ea ambiãtur, nec ſatietatem opperitur eorum qui iis ardeant, tum autem quæ in ſenſum incurrant, ea & propinquãt ſimul & contingũt, ac prætereunt, & quod ſemper præſens ſit, præ tranſitus celeritate, ſenſum effugit, oculis ab iis quæ retro affluant abreptis, conſultũ ſit, procul ſe ab eo fluxu continere, ne rebus incertis circumfuſi, quæ ſemper conſtent, proiecta habeamus. Qui enim poteſt, qui re vlla in hac vita afficiatur, eo quod deſideret aſſiduè potiri? ecquid eſt in iis quæ vel maximè affectẽtur, quod eiuſmodi ſemper maneat? quis iuuẽtutis vigor? quod viriũ aut pulchritudinis temperamẽtũ? quæ opes? quæ gloria? quæ potẽtia? An non ea omnia minimũ florida, rurſum dilabũtur, atq; in cõtrariã appellationẽ recidũt? Quis perpetuã iuuentutẽ egit? cui ad extremũ robur ſuppeditauit? pulchritudinis verò florẽ an nõ etiã vernis breuiorẽ natura cõparauit?

ἐποίησε, τὰ μὲν γὰρ τῆς ὥρας ἐπιλαβούσης ἐβλάστησε, καὶ μικρὸν ἀπανθήσαντα χρόνον, πάλιν ηὔξησε· καὶ πάλιν ἀπερρύη, καὶ πάλιν ἐκόμασε, καὶ τὸ νέον κάλλος καὶ εἰς νέωτα ἔδειξε. τὸ δὲ ἀνθρώπινον ἄνθος ἅπαξ ἡ φύσις κατὰ τὸ ἔαρ τῆς νεότητος δείξασα, εἶτα ἀπέσβεσε, τῷ χειμῶνι τοῦ γήρως ἐναφανίσασα· ὡσαύτως καὶ τὰ ἄλλα πάντα πρὸς καιρὸν τὴν τῆς σαρκὸς αἴσθησιν ἀπατήσαντα, εἶτα παρέδραμε καὶ συνεκαλύφθη τῇ λήθῃ. ἐπεὶ οὖν αἱ τοιαῦται μεταβολαὶ κατά τινα τῆς φύσεως ἀνάγκην συμβαίνουσι, λυποῦσι πάντως τὸν ἐν προσπαθείᾳ γινόμενον, μία τῶν τοιούτων κακῶν ἐστὶν ἀποφυγή, τὸ μηδενὶ τῶν μεταβαλλομένων τῇ ψυχῇ προστεθεῖσθαι, ἀλλ' ὡς ἐστι δυνατόν, χωρισθεῖσαι τῆς πρὸς πάντα τὸν βίον τὸν ἐμπαθῆ τε καὶ σάρκινον ὁμιλίας· μᾶλλον δὲ καὶ τῆς πρὸς τὸ σῶμα τὸ ἑαυτοῦ συμπαθείας ἔξω γενέσθαι· ὡς ἂν μὴ κατὰ σάρκα βιοὺς, ὑπεύθυνος γένηται ταῖς ἐκ τῆς σαρκὸς συμφοραῖς· τοῦτο δέ ἐστι τὸ, μόνῃ τῇ ψυχῇ ζῆν, καὶ μιμεῖσθαι κατὰ
22 τὸ δυνατὸν τὴν τῶν ἀσωμάτων δυνάμεων πολιτείαν· ἐν ᾗ οὔτε γαμοῦσιν οὔτε γαμίσκονται· ἀλλ' ἔργον αὐτοῖς καὶ κατόρθωμα τὸ, θεωρεῖν τὸν πατέρα τῆς ἀφθαρσίας ἐστί, καὶ πρὸς τὸ ἀρχέτυπον κάλλος τὴν ἰδίαν καλλωπίζειν μορφήν, διὰ τῆς ἐνδεχομένης μιμήσεως. ταύτης οὖν τῆς διανοίας καὶ τῆς ὑψηλῆς ἐπιθυμίας συνεργόν,
2. *καθὼς τῇ γραφῇ δοκεῖ, καὶ βοηθὸν τῷ ἀνθρώπῳ τὴν παρθενίαν εἶναι φαμέν· καὶ ὥσπερ τῶν λοιπῶν ἐπιτηδευμάτων τέχναι τινὲς πρὸς τὴν ἑκάστου τῶν σπουδαζομένων ἐπεργασίαν ἐπενοήθησαν, οὕτω μοι δοκεῖ καὶ τὸ τῆς παρθενίας ἐπιτήδευμα τέχνη
[illegible] τις εἶναι καὶ δύναμις τῆς θειοτέρας ζωῆς, πρὸς τὴν ἀσωμάτων φύσιν τοὺς ἐν σαρκὶ ζῶντας ὁμοιωθῆναι παρασκευάζουσα.

oogle

Nam illi appetente tempestate germinant, & minimo tempore decidui, rursum reuiuiscunt, ac victurum modo occidunt, modo reflorescunt, & praesentem venustatem anno etiam proximo ostendunt. Humanae verò pulchritudinem semel secundùm iuuentae ver exhibitam, natura porrò extinguit, ac hiemem senectutis profligat. Similiter & cetera res omnes corporis sensibus minimum circumscriptus, cotinuò praeterfugiunt, ac oblusione teguntur. Itaq; cùm mutationes ea necessitate quadam naturae consequentes, omnino eiu angant, qui in rebus afficiatur, cuius est eorum malorum effugium, animum ad res eas quae mutentur, nō adducere, sed quantum eius fieri potest, ab omni cōcitatae ac carnalis vitae cōsuetudine abducere, atq; adeo studiū quoq; sui corporis abiicere: nequis secundùm carnem viuat, miserius etiā carnis obnoxius sit: id est solo animo viuere, & pro viribus incorporeārum mentium vitam imitari, in qua nec ducitur, nec nubitur, sed munus ac functio est, integritatis patrem cōtemplari, & faciem suam ad principem pulchritudinem excolere, quoad eius fas est imitari. Est demum cogitationi ac sublimi studio sociam, & tanquam auxiliarem homini, vt sacris litteris videtur, virginitatem esse dicimus. Ac quemadmodum in aliis studiis artes quaedam excogitatae sunt comparandis rebus singulis cupitis; ita & studium virginitatis ars quaedam ac facultas mihi videtur diuinioris vitae, eorum qui in carne degant cum incorporea natura similitudinem quandam molliens.

Ὅτι προηγεῖσθαι χρὴ τῆς τῆς ψυχῆς ἀπαθείαν τῆς ἐν σώματι καθαρότητος

ΚΕΦ. Ε´

Ἄξια γὰρ ἐστι σπουδὴ τοῦ τοιούτου βίου, ὅπως μὴ τὸ ὑψηλὸν τῆς ψυχῆς διὰ τῆς ἐπαναστάσεως τῶν ἡδονῶν ταπεινωθῇ, καὶ ἀντὶ τοῦ μετεωροπορεῖν, καὶ εἰς τὰ ἄνω βλέπειν τὴν διάνοιαν ἡμῶν, πρὸς τὰ σαρκὸς καὶ αἵματος κατενεχθεῖσαν πάθη πέσῃ· πῶς γὰρ ἔτι δύναται πρὸς τὸ συγγενές τε καὶ νοητὸν φῶς ἐλευθέρῳ διαβλέπειν τῷ ὄμματι ἡ προσηλωθεῖσα κάτω τῇ ἡδονῇ τῆς σαρκὸς, καὶ τὴν ἐπιθυμίαν πρὸς τὰ ἀνθρώπινα πάθη ἀπασχολήσασα· ὅταν γὰρ πρὸς τὰ ὑλώδη χῇ τὴν ῥοπὴν ἐκ μοχθηρᾶς τινὸς καὶ ἀπαιδεύτου προσλήψεως, καθάπερ οἱ τῶν συῶν ὀφθαλμοὶ εἰς τὸ κάτω παρὰ τῆς φύσεως ἐστραμμένοι τῶν οὐρανίων θαυμάτων ἀπείρως ἔχουσιν, οὕτως ἡ τῷ σώματι συγκαταπαθεῖσα ψυχή, οὐκ ἔτι πρὸς τὸν οὐρανὸν καὶ τὰ ἄνω κάλλη βλέπειν δύναται, πρὸς τὸ ταπεινὸν καὶ κτηνῶδες τῆς φύσεως ἐπικύπτουσα. ὡς δὲ οὖν μάλιστα ἡμῖν ἐλευθέρα καὶ ἄνετος ἡ ψυχὴ πρὸς τὴν θείαν τε καὶ μακαρίαν ἡδονὴν διαβλέποι, πρὸς οὐδὲν τῶν γηίνων ἑαυτὴν ἐπιστρέψῃ, οὐδὲ τῶν νενομισμένων κατὰ τὴν τοῦ κοινοῦ βίου συγχώρησιν ἡδονῶν μεταλήψεται, ἀλλὰ μεταθήσει τὴν ἐρωτικὴν δύναμιν ἀπὸ τῶν σωματικῶν ἐπὶ τὴν νοητήν τε καὶ αὖ τοῦ καλοῦ θεωρίαν· πρὸς τὴν τοιαύτην τῆς ψυχῆς διάθεσιν ἡ παρθενία τοῦ σώματος ἡμῖν ἐπενοήθη, ὡς δὲ μάλιστα λήθην καὶ ἀμνηστίαν ἐμποιήσειε τῇ ψυχῇ τῶν ἐμπαθῶν τῆς φύσεως κινημάτων, μηδεμίαν ἀνάγκην ἐπάγουσα πρὸς τὰ ταπεινὰ τῆς σαρκὸς

γρ. κατὰ

γρ. ἄϋλον ex antiqua scribendi ratione qua in [illegible] quibusque libris ἀυ scribitur.

Præcedere oportere animi affectuum vacuitatem corporis caſtitatem.

CAP. V.

ETENIM *omnis eius vitæ cōtentio eſt, ne animi magnitudo voluptatū tanquā arietibus deiiciatur, neu mens noſtra à ſublimi itinere & cœleſtiū rerū cōtemplatione præceps in carnis ac ſanguinis affectus corruat. Qui enim poteſt ad cognatam lucem, & quæ intelligētia cernatur, liberis oculis ſuſpicere, quæ defixa ſit carnis voluptati, & cupiditatē humanis rebus occupet? Nam quæ ad materiata hæc, vitioſa atq; illiberali quadam opinatione ſtudium conferat, quaſi ſuum oculi naturâ proni, à cœleſtibus miraculis alieni ſunt; Ita & mens cum corpore afflicta, non iam amplius cælum, & omnem illam ſublimem pulchritudinem contueri poterit, quæ ad naturæ functionem abiectam atq; brutam deſpectet. Quare vt animus quāmaxime liber atq; expeditus, ad diuinā ac beatam voluptatem ſuſpiciat, nullis ſe terreſtrium rerum adiunget, nec conceſſas ſecundum communis vitæ permiſſionem voluptates percipiet, ſed amorem omnem à rebus corporatis ad immaterialis boni perueſtigationē, quam mēte atq; intelligentia conſequatur, transferet. Huic illi demum animi affectioni corporis virginitas comparata eſt, vt animo impotentiū naturæ motionū contemptū ac obliuionē inducat: quæ neceſſitatē nullā adferat ſordidis*

carnis

σαρκὸς ὀφλήματα καταγίνεσθαι. ἐλευθερωθεῖσα γὰρ ἅπαξ τῶν τοιούτων χρεῶν, οὐκέτι κινδυνεύσει μὴ τῷ κατ' ὀλίγον προσεθισμῷ περὶ τὰ δοκοῦντα νόμῳ τινὶ φύσεως συγκεχωρῆσθαι, ἐν ἀποστροφῇ καὶ ἀγνοίᾳ τῆς θείας τε καὶ ἀκηράτου γενέσθαι ἡδονῆς· ἣν ᵛμόνην καρδίας καθαρότης, τὸ ἐν ἡμῖν ἡγεμονικόν, θηρεύειν πέφυκεν.

ᵛPuto leg. [illegible]

13 Ὅτι ἠλίας καὶ ἰωάννης τῆς ἀκριβείας τοῦ βίου τούτου ἐπεμελήθησαν.

ΚΕΦ. ϛ.

Διὰ τοῦτό μοι δοκεῖ καὶ ὁ μέγας ἐν προφήταις ἠλίας, καὶ ὁ ἐν πνεύματι καὶ δυνάμει ἠλίου μετ' ἐκεῖνον ἐπιδημήσας τῷ βίῳ, οὗ μείζων οὐδεὶς ἐν γεννητοῖς γυναικῶν, εἴπέρ τι καὶ ἕτερον ἡ κατ' αὐτοὺς ἱστορία παραδηλοῖ δι' αἰνίγματος, τοῦτο μάλιστα τῷ ἰδίῳ δογματίζειν βίῳ τό, χωρισθῆναι τῆς τοῦ ἀνθρωπίνου βίου ἀκολουθίας τὸν τῇ θεωρίᾳ τῶν ἀοράτων σχολάζοντα. ὡς ἂν μὴ ταῖς τοιαύταις ἀπάταις ταῖς διὰ τῶν αἰσθήσεων γινομέναις προσπαθήσας, σύγχυσίν τινα καὶ πλάνην πάθοι περὶ τὴν τοῦ ὄντως ἀγαθοῦ κρίσιν· ἀμφότεροι γὰρ εὐθὺς ἐκ νέων ἀπεξενώθησαν τῆς ἀνθρωπίνης ζωῆς, καὶ οἷον ἔξω τῆς φύσεως ἑαυτοὺς ἔστησαν τῇ περὶ τὴν βρῶσιν καὶ πόσιν ὑπεροψίᾳ τῆς συνήθους καὶ νενομισμένης τροφῆς, καὶ τῇ κατὰ τὴν ἔρημον διαγωγῇ. ὡς καὶ τὴν ἀκοὴν
14 ἀπερίηχητον καὶ *ἀπὸ ἀνήτον αὐτοῖς φυλαχθῆναι τὴν ὄψιν, καὶ τὴν γεῦσιν ἁπλῆν τε καὶ ἀπραγμάτευτον διαμεῖναι, ἐκ τοῦ προστυχόντος ἑκατέροις πληρουμένης τῆς χρείας· ἐντεῦθεν εἰς πολλὴν εὐδίαν καὶ γαλήνην ἀπὸ τῶν ἔξωθεν θορύβων καταστη-

[illegible] Hæc excluſit Cant. & Vat.

ᵛLuc. 1 Matth. 11

ᵛVat. μάλ. δογματ. τῷ ἰδίῳ βίῳ.

*Vat. non [illegible] qua voce author magis videtur delectatus.

carnis debitis vacandi. Quippe ubi ſemel iis expeditus ſit, non iam deinceps periculum eſt, ne aſſuetudine tandem rerum, quæ lege quadam naturæ permiſſa videantur, veram illam atque immortalem voluptatem auerſetur ac fugiat, quam ſola animi, quæ pars noſtri princeps eſt, caſtitas venetur.

Eliam ac Iohannem ei vitæ accurationi operam dediſſe.

CAP. VI.

PEculiariter id mihi cũ ſummus ille vates Elias, tum qui poſt eũ Eliano ſpiritu ac virtute eſt in vita verſatus, quo nullus maior inter natos fœminarũ, ſi quid aliud quoq; eorũ hiſtoria obſcurè ſignificat, illud certe docere ſua vita videntur, qui contemplationi vacet rerum quæ cernendi ſenſum effugiant, et ab humanæ vitæ ſerie deſciſcendũ, ne iis fraudibus quæ per ſenſus comparentur, aſſuetus, perturbationem aliquam atque errorem in iudicio eius quod verè bonum ſit, ſentiat. Uterque enim iam à pueris ab humana vita ſe abalienarunt, atq; in cibis ac potu ſolennias cõſtituti cibi contẽptu, & vita in ſolitudine degenda, velut extra naturam collocarunt, ut & aures à ſtrepitu, & oculos ab errore tuerentur, & guſtatum ſimplicem nec curioſum conſeruarent · qui naturæ neceſſitatem iis quæ forte incidiſſent, explerent. Quæ res iis magnam ſerenitatem atque ab externis tumultibus tranquillitatem

κατέστησαν, καὶ διὰ τοῦτο εἰς τοσοῦτον μέγεθος τῶν θείων χαρισμάτων ἐπήρθησαν, †ὅσον περὶ ἑκάτερον τούτων μνημονεύει ὁ λόγος. ἠλίας μὲν γὰρ καθάπερ ταμίας τις τῶν τοῦ θεοῦ δωρεῶν καταστὰς, τὰς ἐκ τοῦ οὐρανοῦ χρείας κατ' ἐξουσίαν καὶ ἀποκλείειν τοῖς ἁμαρτάνουσι, καὶ ἀνοῖξαι τοῖς μετανοοῦσι κύριος ἦν· τὸν δὲ ἰωάννην τοιοῦτον μὲν τι θαυματοποιῆσαι *οὐδέν φησιν ἡ θεία ἱστορία· περισσότερον δὲ ἢ κατὰ προφήτην τὸ ἐν αὐτῷ χάρισμα παρὰ τοῦ τὰ κρυπτὰ βλέποντος μεμαρτύρηται· τάχα ὅτι καθαρόν τε καὶ ἀμιγῆ πάσης ὑλικῆς προσπαθείας τὴν ἑαυτῶν ἐπιθυμίαν ἀπ' ἀρχῆς εἰς τέλος τῷ κυρίῳ ἀνέθηκαν, οὔτε εἰς τέκνων στοργὴν, οὔτε εἰς γυναικὸς φροντίδα, οὔτε εἰς ἄλλο τι τῶν ἀνθρωπίνων †ἀσχοληθέντες· οἵ γε μηδὲ τῆς καθ' ἡμέραν ἀναγκαίας τροφῆς πρέπειν ἑαυτοῖς †ὑπολαβόντες τὴν μέριμναν, τῆς τε τῶν ἐνδυμάτων σεμνότητος κρείττους ἀποδειχθέντες, ἐκ τῶν ἐπιτυχόντων ἑαυτοῖς τὰς χρείας †ἀπεσχεδίαζον, ὁ μὲν δέρμασιν αἰγείοις, ὁ δὲ καμήλου θριξὶ σκεπαζόμενος. οὐκ ἂν εἰς ἐκεῖνο τὸ μέγεθος †ὡς οἶμαι φθάσαντες, εἰ ταῖς τοῦ σωματίου ἡδυπαθείαις ὑπὸ τοῦ γάμου κατεμαλάχθησαν. ταῦτα δὲ *οὐχ ἁπλῶς, ἀλλὰ καθὼς φησιν ὁ ἀπόστολος εἰς νουθεσίαν ἡμῶν ἀναγέγραπται· ἵνα πρὸς τὸν ἐκείνων βίον καὶ τὸν ἑαυτῶν κατευθυνώμεθα. τί οὖν ἐκ τούτων μανθάνομεν, τὸ καθ' ὁμοιότητα τῶν ἁγίων ἀνδρῶν, μηδενὶ †τῶν βιωτικῶν πραγμάτων προσασχολεῖν τὴν διάνοιαν ʼ τὴν ἐπιθυμίαν τῷ θεῷ συναφθῆναι· οὐδὲ γάρ ἐστι δυνατὸν τὸν εἰς πολλὰ τῇ διανοίᾳ διαχεόμενον, πρὸς θεοῦ κατανόησιν καὶ ἐπιθυμίαν διευπορῆσαι.

*δοκεῖ

† [illegible] ex Vat.

* Sola [illegible] ex Vat.

Matth. 11

† Var. [illegible]

† Var. ὑπολαμβάνοντες.

† Var. [illegible] male

† Var. φθάσαντες, οἶμαι,

* addit [illegible] ex Vat.

1 Cor. 10

† Var. [illegible] inclusa add. in fine ex Vat.

peperit, atque ad tantam diuinorum beneficiorum magnitudinem euexit, quanta de vtroque memoria consecrata est. Elias enim Dei munerum velut promus condus designatus, cæli opes pro arbitrio & conscelerati claudendi, & ad frugem reuersis pandendi potestate eum accepit. Iohannem vero nihil tale perpetrasse sacra historia produnt; maiorem tamen erga eum, quam vllum vatem, Dei beneficentiam extitisse, is testis est qui occulta intuetur: fortasse quòd cupiditatem suam purã atq; impermixtam omni corporearum rerum studio ab ortu ad extremum spiritum Deo consecrarunt, neque amore liberorum, neq; vxoris cura, neque alia re vlla humana occupati: qui nec sollicitudinẽ quidẽ de necessario victu quotidiano decere se arbitrati, luxu omni vestitum protecto, ex iis quæ oblata essent, facile sibi necessaria parare, ille caprinis scortis, hic camelis fœtis contectus: nunquam, credo equidem, ad eam magnitudinem peruenturi, si permatrimonii corporis voluptatibus se fregissent. Atque hæc quidem non temere, sed admonendorũ nostrũm causa auctore Apostolo, conscripta sunt; vt ad illorum vitam nostram exigamus. Quid ergo ex his discimus? Nimirum vt exemplo sanctorum virorum, cogitationem ac studium nullum conferat in res eas quæ ad victum cultumque corporis pertineant, qui cum Deo cupiat coniungi. neq; enim potest qui mentẽ in res multas effundat, recta ad Dei comprehensionem atque studium grassari.

15 *δοκεῖ δέ μοι δι' ὑποδείγματος ἐνεργέστερον ἂν παραστῆσαι τὸ περὶ τούτων δόγμα· ὑποθώμεθα γάρ τι ὕδωρ ἐκ πηγῆς προχεόμενον, εἰς διαφόρους ἀποῤῥοὰς κατὰ τὸ συμβὰν διασχίζεσθαι. οὐκοῦν ἕως ἂν οὕτω φέρηται, εἰς οὐδὲν τῶν πρὸς τὴν γεωργίαν χρησίμων ἐπιτήδειον ἔσται, τῆς εἰς πολλὰ διαχύσεως ὀλίγον τὸ ἐν ἑκάστῳ, καὶ ἀδρανὲς, καὶ δυσκίνητον ὑπὸ ἀτονίας ποιούσης· εἰ δέ τις πάσας αὐτοῦ τὰς ἀτάκτους ἀποῤῥοὰς συναγάγοι, καὶ εἰς ἓν ῥεῖθρον τὸ πολλαχῇ τέως ἐσκεδασμένον ἀθροίσειεν, εἰς πολλὰ ἂν τῶν βιωφελῶν καὶ χρησίμων ἀθρόῳ καὶ συνεστραμμένῳ τῷ ὕδατι χρήσαιτο· οὕτω μοι δοκεῖ καὶ ὁ νοῦς ὁ ἀνθρώπινος, εἰ μὲν πανταχοῦ διαχέοιτο, πρὸς τὸ ἀρέσκον ἀεὶ ταῖς αἰσθήσεσι ῥέων καὶ σκεδαννύμενος, μηδεμίαν ἀξιόλογον δύναμιν ἔχειν πρὸς τὴν ἐπὶ τὸ ὄντως ἀγαθὸν πορείαν· εἰ δὲ πανταχόθεν ἀνακληθεὶς, καὶ περὶ ἑαυτὸν ἀθροισθεὶς, συνηγμένος καὶ ἀδιάχυτος πρὸς τὴν οἰκείαν ἑαυτῷ καὶ κατὰ φύσιν ἐνέργειαν κινοῖτο, οὐδὲν τὸ κωλῦον αὐτὸν ἔσται πρὸς τὰ ἄνω φέρεσθαι, καὶ τῆς ἀληθείας τῶν ὄντων ἐφάπτεσθαι· καθάπερ γὰρ τὸ περιεστεγασμένον διὰ σωλῆνος ὕδωρ ὄρθιον πολλάκις ὑπὸ τῆς ἀναθλιβούσης βίας ἐπὶ τὰ ἄνω φέρεται, οὐκ ἔχον ὅπῃ διαχυθῇ· καὶ ταῦτα, κατωφεροῦς αὐτοῦ τῆς κατὰ φύσιν οὔσης κινήσεως· οὕτω καὶ ὁ νοῦς ὁ ἀνθρώπινος οἷόν τινος σωλῆνος στεγανοῦ τῆς ἐγκρατείας αὐτὸν ἀπανταχόθεν περισφιγγούσης, ἀναληφθήσεταί πως ὑπὸ τῆς τοῦ κινεῖσθαι φύσεως πρὸς τὴν τῶν ὑψηλοτέρων ἐπιθυμίαν, οὐκ ἔχων ὅπου παραῤῥυῇ· οὔτε γὰρ στῆναί ποτε δύναται τὸ ἀεὶ κινητὸν ὑπὸ τοῦ πεποιηκότος εἰληφὸς τὴν φύσιν, καὶ εἰς τὰ μάταια
16

χρῆσθαι

Vat. ἐναργ. ex Vat.

Vat. [illegible]

Repone ex Vat. [illegible]

Vat. [illegible]

Vat. ἔχειν

Vat. [illegible]

Vat. [illegible]

Vat. [illegible]

Vat. [illegible]

Add. de suo ex Vat.

Sed placet decretũ hoc noſtrum exemplo illuſtrare. Ponamus .n. aquam vllã ex fonte effluentẽ, in varios riuos, vt fors ferat, deduci. Itaq; quãdiu ita feratur, ad rẽ vllã quę agris colendis expediat, nihil adiumenti pręſtabit, quę diffluxu ſuo exiguũ aliquid in ſingulis ac ꝑtenue, et quod pre raritate moueri minus poſsit, relinquat. Quòd ſi quis autẽ omnem eius incõpoſitũ effluxũ colligat, & aquã hactenus diſperſam in vnũ flumen cõtrahat, nã ille ea iam coacta ac compoſita ad res multas in vita vtiles ac frugi vtetur. Eodem modo & mens humana, ſi quidem quóuis ſe effundat, atque ad res iucundas ſenſuum quaſi nuncius ſemper fluat ac diſsipetur, nullam vim habere mihi videtur quę alicuius momenti ſit, ad veri boni conſectationem. Sin autem vndique ſe reprendat, atque ad ſe coacta, & collecta, ac reducta, ad gerendas res eas quę naturales atque inſitę ſint, feratur, nihil impedimento futurum eſt, ne ſupera capeſſat, & veritatem quę in rebus inhęreat, pertractet. Vt enim aqua canali concluſa, ſępe vi oblata quę ſurſum incitet, ſublimis rapitur, non habens quò effluat, quę natura interim *prona moueatur. Ita & mens humana, tẽperantia velut arcto canali eam vndique coercente, quę eſt natura mobilitate, ad cęleſtium rerum cupiditatem attolletur, non habens quò dimanet. Neque enim quę ab opifice Deo ſempiterno motu ſit affecta, quieſcere vnquam poteſt, & mobilitate ſua ad res vanas vti prohibita,

*Ita Cat. ignem dicit nihil proprii habere.

χρῆσθαι τῇ κινήσει κωλυόμενοι, ἀμήχανον μὴ πρὸς τὴν ἀλήθειαν πάντως εὐθυπορῆσαι, τῷ πανταχόθεν ἀπὸ τῶν ἀτόπων ἀπείργεσθαι· καὶ γὰρ ἐν ταῖς πολυοδίαις οὗτοι μάλιστα τοὺς ὁδοιπόρους ὁρῶμεν τῆς εὐθείας οὐχ ἁμαρτάνοντας, ὅσοι τὴν ἐν ταῖς ἄλλαις ὁδοῖς πλάνην προμαθόντες, ἐκκλίνουσιν· ὡς ὁ τῶν πεπλανημένων τρίβων ἐν τῷ ὁδεύειν ἀναχωρήσας, ἐπὶ τῆς εὐθείας μᾶλλον ἑαυτὸν φυλάξει· οὕτως ἡμῶν ἡ διάνοια τῇ ἀποστροφῇ τῶν ματαίων τὴν ἐν τοῖς οὖσιν ἀλήθειαν ἐπιγνώσεται)· ἔοικεν οὖν ταῦτα παιδεύειν ἡμᾶς ἡ μνήμη τῶν μεγάλων προφητῶν ἐκείνων, τὸ μηδενὶ τῶν ἐν τῷ κόσμῳ σπουδαζομένων ἐμπλέκεσθαι· εἷς δὲ τῶν σπουδαζομένων ὁ γάμος ἐστίν· μᾶλλον δὲ ὁ ἀρχὴ καὶ ῥίζα τῆς τῶν ματαίων σπουδῆς.

Inclusa addita sunt ex Vat.

ᵛVat. [illegible] male

ᵛEmenda ἐν ex Vat.

ᵛVat. ἀρχή.

Ὅτι οὐδὲ ὁ γάμος τῶν κατεγνωσμένων ἐστίν.

ΚΕΦ. Ζʹ.

Μηδεὶς δὲ διὰ τούτων ἡμᾶς ἀθετεῖν οἰέσθω τὴν οἰκονομίαν τοῦ γάμου· οὐ γὰρ ἀγνοοῦμεν ὅτι καὶ οὗτος τῆς τοῦ θεοῦ εὐλογίας οὐκ ἠλλοτρίωται· ἀλλ' ἐπειδὴ τούτου μὲν αὐτάρκης συνήγορος ἡ κοινὴ τῶν ἀνθρώπων φύσις, αὐτόματόν τινα πρὸς τὰ τοιαῦτα ῥοπὴν ἐντιθεῖσα πᾶσι τοῖς διὰ γάμου παριοῦσιν εἰς γένεσιν· ἀντιβαίνει δέ πως ἡ παρθενία τῇ φύσει, περιττὸν ἂν εἴη περὶ γάμου προτροπὴν καὶ παραίνεσιν φιλοπόνως συγγράφειν, τὴν δυσανταγώνιστον αὐτῷ προβαλλομένους συνήγορον τὴν ἡδονήν· πλὴν εἰ μὴ τάχα διὰ τοὺς τὰ δόγματα τῆς ἐκκλησίας παραχαράσσοντας τῶν τοιούτων χρεία λόγων ἂν εἴη· οὓς κεκαυτηριασμένους τὴν

ᵛadde καὶ ex Vat.
ᵛadde ἰδία, ex Vat.
ᵛEmenda [illegible] ex Vat.
Typ. [illegible] ex correct. nostra Vat. [illegible]
ᵛadde [illegible] ex Vat.

non poterit non rectà ad veritatem contendere, quæ undique à rebus futilibus arceatur. Nam & in multiviis, ita demum videmus viatores à via recta non aberrare, ſi aliarum proſpecto errore, declinent. Nam qui erroneas ſemitas inter eundum vitet, is rectam viam magis tenebit; Ita mens noſtra futilium deſpectu, veritatem quæ in rebus ſit, perſpiciet. Itaque illud nos docere magnorum illorum vatum memoria videtur, vt nulla earum rerum quæ in mundo ambiantur, implicemur· In iis vnum eſt matrimoniū· atq; adeò ſtudy rerum futilium dux & quaſi radix.

Nec matrimonium eſſe in rebus damnatis.

CAP. VII.

NEMO *autem propterea damnare nos matrimony inſtitutionem exiſtimet. neque enim neſcimus, ne id quidem abeſſe à Dei fauore· Sed quoniam ei vel communis hominum natura luculentus patronus eſt, quæ impetum quendam naturalem cunctis per matrimonium in lucem editis ad res eas iniecerit: tum autem virginitas naturæ penè aduerſaria eſt, putidū ſit multa ad matrimony cohortationē conſcribere, voluptate, inexpugnabili patrono, in mediū adducta: niſi forte ea diſputatione propter eos qui decreta Eccleſiæ refingāt, ſit opus, quos iniuſtā haben-*

τὴν ἰδίαν συνείδησιν ὁ ἀπόστολος ὀνομάζει· καὶ καλῶς ὀνομάζει, ὅτι καταλιπόντες τὴν ὁδηγίαν τοῦ πνεύματος, διὰ τῆς τῶν δαιμόνων διδασκαλίας σύλας τινὰς καὶ ἐγκαύματα ταῖς καρδίαις ἑαυτῶν ἐγχαράσσουσι, τὰ θεοῦ κτίσματα βδελυσσόμενοι ὡς μιάσματα, καὶ εἰς κακὸν φέροντα, καὶ κακῶν αἴτια, καὶ τοιαῦτα προσαγορεύοντες. ἀλλὰ τί μοι τοὺς ἔξω κρίνειν, φησὶν ὁ *ἀπόστολος· ἔξω γάρ εἰσιν ὡς ἀληθῶς ἐκεῖνοι τῆς τοῦ λόγου
17 τῶν μυστηρίων αὐλῆς, οὐκ ἐν τῇ σκέπῃ τοῦ θεοῦ, ἀλλ' ἐν τῇ μεθόδῳ τοῦ πονηροῦ αὐλιζόμενοι· οἱ ἐζωγρημένοι εἰς τὸ ἐκείνου θέλημα, κατὰ τὴν τοῦ ἀποστόλου φωνὴν, καὶ διὰ τοῦτο μὴ συνιέντες ὅτι πάσης ἀρετῆς ἐν μεσότητι θεωρουμένης, ἡ ἐπὶ τὰ παρακείμενα παρατροπὴ ἡ κακία ἐστίν· ὑφέσεως γὰρ καὶ ἐπιτάσεως πανταχοῦ τις τὸ μέσον ἐπιλαβὼν, τὴν ἀρετὴν ἐκ τῆς κακίας διέκρινε. Σαφέστερος δ' ἂν ἡμῖν ὁ λόγος γένοιτο ἐπ' αὐτῶν τῶν πραγμάτων δεικνύμενος· δειλία καὶ θράσος δύο κακίαι κατὰ τὸ ἐναντίον νοούμεναι, ἡ μὲν κατὰ ἔλλειψιν, ἡ δὲ κατὰ πλεονασμὸν πεποιθήσεως, μέσην περιέχουσιν ἑαυτῶν τὴν ἀνδρείαν· πάλιν ὁ εὐσεβὴς οὔτε ἄθεος οὔτε δεισιδαίμων ἐστίν· ἴσον γὰρ ἐπ' ἀμφοῖν τὸ ἀσέβημα, καὶ τὸ μηδένα θεὸν, καὶ τὸ πολλοὺς εἶναι οἴεσθαι· βούλει δὲ δι' ἑτέρου ἐπιγνῶναι τὸ δόγμα; ὁ φυγὼν τὸ φειδωλὸς εἶναι καὶ ἄσωτος, ἐν τῇ τῶν ἐναντίων παθῶν διαχωρίσει τὴν ἐλευθερίαν τοῦ ἤθους κατώρθωσε· τοιοῦτον γάρ τι ἐλευθερία ἐστὶν, τὸ μήτε πρὸς τὰς ἀμέτρους καὶ ἀνωφελεῖς δαπάνας εἰκῇ διαχεῖσθαι, μήτε πρὸς τὰ ἀναγκαῖα μικρολόγως ἔχειν. οὕτω καὶ ἐπὶ τῶν λοιπῶν πάντων, ἵνα μὴ τοῖς καθέκαστον ἐπεξίωμεν, τὴν μεσότητα τῶν ἐναντίων ἀρετὴν ὁ λόγος ἐγνώρισεν.

αἰνοῦμ

a 1. Tim. 4. b Deſideratur Vat. [illegible] ἐγὼ ex Vat.

c Vat. [illegible]

d Vat. τὰ. Puto vtramque lectionem coniungendam.

e Pſal. 90.

f 2. Tim. 2.

g Vat. [illegible]

h Emenda [illegible] ex con[illegible] ſtu & Vat.

i Vat. addit [illegible]

k Emenda [illegible] ex Vat.

l Vat. [illegible]

habētes conſcientiā Apoſtolus vocat: & rectè quòd relicto Spiritus ſanctiſ comitatu per Demoniorum doctrinam cicatrices quaſdam ac notas animis ſuis inurant, res à Deo creatas, velut impuras execrātes, & malicauſas, & quæ in vitium ducant, alnaq; id genus appellantes. Sed quid mea attinet, inquit Apoſtolus, de extraneis iudicare? Re enim vera extra caulam ſunt arcani ſermonis, non in Dei præſidio, ſed in impuri atq; illius caula ſtabulantes: qui ab eo capti, vt Apoſtolus loquitur, ad eius arbitrium teneantur, ideòque non intelligant, cum virtus omnis poſita ſit in mediocritate, digreſſum ad ea quæ vtrinque hæreant, vitium eſſe. Qui enim planè remiſſionis ac intenſionis medium conſecutus ſit, is iam virtutem à vitio diſcreuerit. Sed fiet quod dicimus illuſtrius, ſi rebus ipſis demonſtretur. Timiditas ac temeritas duo vitia quæ contraria notionibus intelligantur, illa defectu, hæc exceſſu fiducia, medium cohibet fortitudinem. Rurſum puto nec irreligioſus eſt, nec ſuperſtitioſus: eſt enim par flagitium, & nullum Deum, & multos eſſe credere. Vtrum & alius, quod tueamur, intelligere? Qui tenacitatem ac luxum declinet, is vitandis contrarijs vitijs frugalitatem exerceat: tale enim aliquid eſt frugalitas, neque in immoderatis ac inutilibus ſumptibus leuem eſſe, neq; in neceſſarijs ſordidum. Ita & in cæteris omnibus, ne ſingula referamus, virtutem medium eſſe inter res pugnantes, certa ratio eſt.

οὕτω καὶ ἡ σωφροσύνη μεσότης ἐστίν, καὶ φανερὰς ἔχει τὰς ἐφ' ἑκάτερα πρὸς κακίαν παρατροπάς. ὁ μὲν γὰρ ἐλλείπων κατὰ τὸν τῆς ψυχῆς τόνον, καὶ εὐκαταγώνιστος τοῖς τῆς ἡδονῆς πάθεσι, καὶ διὰ τοῦτο μὴ προσεγγίσας τῇ ὁδῷ τοῦ καθαροῦ βίου καὶ σώφρονος, εἰς πάθη τῆς ἀτιμίας κατωλίσθησεν· ὁ δὲ παρελθὼν τῆς σωφροσύνης τὸ βάσιμον, καὶ ὑπερπεσὼν τοῦ μέσου τῆς ἀρετῆς, οἷον κρημνῷ τινι τῇ διδασκαλίᾳ τῶν δαιμόνων ἐγκατηνέχθη, καυτηριάζων καθώς φησιν ὁ ἀπόστολος τὴν ἰδίαν συνείδησιν. ἐν ᾧ γὰρ βδελυκτὸν εἶναι τὸν γάμον ὁρίζεται, ἑαυτὸν στίζει τοῖς τοῦ γάμου ὀνείδεσιν· εἰ γὰρ τὸ δένδρον κακόν, καθώς φησί που τὸ εὐαγγέλιον, καὶ ὁ καρπὸς πάντως τοῦ δένδρου ἄξιος. εἰ δὲ τοῦ φυτοῦ τοῦ κατὰ τὸν γάμον βλάστημα καὶ καρπός ἐστιν ὁ
18 ἄνθρωπος, τὰ τοῦ γάμου ὀνείδη πάντως *τοῦ προφέροντος γίνεται· ἀλλ' ἐκεῖνοι μὲν στιγματίαι τὴν συνείδησιν καὶ μεμωλωπισμένοι τῇ ἀτοπίᾳ τοῦ δόγματος διὰ τῶν τοιούτων ἐλέγχονται· ἡμεῖς δὲ ταῦτα καὶ περὶ τοῦ γάμου γινώσκομεν· ὡς δεῖ προηγουμένην μὲν εἶναι τὴν περὶ τὰ θεῖα σπουδήν τε καὶ ἐπιθυμίαν· τῆς δὲ τοῦ γάμου λειτουργίας μὴ ὑπερορᾶν τὸν σωφρόνως τε καὶ μεμετρημένως χρήσασθαι δυνάμενον· οἷος ἦν ὁ πατριάρχης Ἰσαάκ, ὃς οὐκ ἐν ἀκμῇ τῆς ἡλικίας, ἵνα μὴ πάθους ἔργον ὁ γάμος [illegible], ἀλλ' ἤδη τῆς νεότητος ὑπαναλωθείσης αὐτῷ δέχεται τὴν τῆς Ῥεβέκκας συνοίκησιν, διὰ τὴν ἐπὶ τῷ σπέρματι τοῦ θεοῦ εὐλογίαν· καὶ μέχρι μιᾶς ὠδῖνος ὑπηρετήσας τῷ γάμῳ, πάλιν τῶν ἀοράτων ὅλος ἦν, μύσας τὰ σωματικὰ αἰσθητήρια. τοῦτο γὰρ ἡ ἱστορία δοκεῖ σημαίνειν, τὴν βαρύτητα τῶν ὀφθαλμῶν τοῦ πατριάρχου διηγουμένη.

ὅτι

Var. [illegible] recte
Var. [illegible]
Var. [illegible] quod non placet
Var. [illegible]
Var. [illegible] Math. 7
Var. [illegible] corrupte
Var. [illegible]
Var. [illegible]
Var. [illegible]
Var. [illegible]
Var. [illegible]
Vulg. Genes. caput 26.
Var. [illegible]
valde pie [illegible] Var.
Genes. 27

Quare temperantia quoque & medium eſt, & vtrinq; euidentes habet ad vitiũ digreſſus. Nam cui ad animi contenſionẽ aliquid deſit, & vitio voluptatis facile expugnetur, eoq; iter frugi ac temperãtis vitæ non inſiſtat, in fœdas libidines incidit. At qui temperantia tanquam ſemitam prætereat, ac trans mediũ excidat virtutis, in Dæmoniorũ doctrinam velut præcipitiũ deturbatur, conſcientiam ſuam, vt ait Apoſtolus, inurens. Nam eo ipſo quod matrimonium execrandum cenſet, matrimonij ignominiis ſe compunget: nam ſi arbor vitioſa eſt, vt habet quodam loco Euangelium, & fructus omnino arboris cõſentaneus eſt. Quare ſi è matrimonij ſtirpe homo germẽ ac fructus quidã naſcitur, matrimonij ignominia omnino in eũ qui procreet, redundẽt. Atq; his quidẽ ſtigmatici illi, et qui conſcientiã habeãt doctrinæ abſurditate conſcribillatã, refutãtur. Nos de matrimonio ſic ſtatuimus. Primariũ ſtudiũ ac deſideriũ erga res diuinas eſſe oportere matrimonij tamẽ miniſteriũ ab eo minimè cõtẽnendũ, qui tẽperatè ac moderatè vti poſſit: qualis erat princeps ille pater Iſaacus, qui nõ in flore ætatis, ne opus libidinis matrimoniũ fieret ſed iuuẽtute ei ſã cõfecta, Rebecã contubernalẽ aſciuit, propter felicitatẽ generi à Deo præſtandã. Atq; vbi ad vnũ partũ nuptiis vacaſſet, iterũ ſe ad res eas quæ obtutũ effugerẽt, recepit, corporeis ſentiẽdi inſtrumẽtis occluſis. Id.n. grauitate oculorũ Patriarchæ referẽda, hiſtoria innuere mihi videtur.

vtrique vbed vitio vol fac. exp. & iter &c

Rom. 1.

quadragenarius Genes. 25.

ὅτι δύσκολόν ἐστι τοῦ σκοποῦ τυχεῖν τὸν εἰς πολλὰ τὴν ψυχὴν μεριζόμενον

ΚΕΦ. Η΄.

Ἀλλὰ ταῦτα μὲν ἐχέτω ὅπως ἂν ἔχειν δοκῇ τοῖς τὰ τοιαῦτα καθορᾶν ἐπιστήμοσιν· ἡμεῖς δὲ πρὸς τὸ συνεχῆ τοῦ λόγου πορευώμεθα τί οὖν τὸ λεγόμενον, ὅτι δεῖ ἐξῆ, μήτε τὸ θεοτερπὲς ἐπιθυμίας ἐφίστασθαι, μήτε ἀποφάσκειν τὸν γάμον, οὐδείς ἐστι λόγος ὁ ἀθετῶν τὴν οἰκονομίαν τῆς φύσεως, καὶ ὡς βδελυκτὸν διαβάλλων τὸ τίμιον· καθάπερ γὰρ ἐπὶ τοῦ ῥηθέντος ἡμῖν τοῦ κατὰ τὸ ὕδωρ καὶ τὴν πηγὴν ὑποδείγματος, ὅταν ἐπί τι χωρίον διοχετεύῃ ὁ γεωργὸς τὸ ὕδωρ ἐφέλκεται· γίνηται δέ τις καὶ διὰ μέσου χρεία βραχείας ἀπορροῆς, τοσοῦτον μόνον δώσει παραρρυῆναι, ὅσον τῇ ἐπιζητούσῃ χρείᾳ σύμμετρον γενόμενον, πάλιν εὐκόλως συναναμιχθείη τῷ ὅλῳ. εἰ δὲ ἀπείρως καὶ ἀταμιεύτως ἀνοίξειε τῷ ὕδατι τὴν ἀπόρροιαν, κινδυνεύσει τὸ ῥεῖθρον ἀφέμενον ὅλον εἰς χαραδρωθεῖσαν κατὰ τὸ πλάγιον. τὸν αὐτὸν τρόπον ἐπειδὴ χρεία τῷ βίῳ, καὶ τῆς ἐξ ἀλλήλων διαδοχῆς, εἰ μὲν οὕτω χρήσαιτο τῷ γινομένῳ, ὡς προηγουμένων τῶν πνευματικῶν, φειδωλῇ καὶ ὑπεσταλμένῃ κεχρῆσθαι τῇ πρὸς τὰ τοιαῦτα ἐπιθυμίᾳ, διὰ τὴν τοῦ καιροῦ συστολήν, οὗτος ὁ σώφρων ἂν εἴη γεωργός, κατὰ τὸ παράγγελμα τοῦ ἀποστόλου οὐκ ἀεὶ περὶ τὰς ἀποδόσεις τῶν ψυχρῶν ἐκείνων ὀφλημάτων μικρολογούμενος, ἀλλὰ τὴν ἐκ συμφώνου καθαρότητα τῇ σχολῇ τῶν προσευχῶν ἀφορίζων, δεδοικὼς μὴ διὰ τῆς τοιαύτης προσπαθείας ὅλος γένηται σὰρξ καὶ αἷμα, ἐν οἷς οὐ καταμένει τοῦ θεοῦ τὸ πνεῦμα. ὁ δὲ ἀτάκτως διακεί-

v adde ὧν ex Vat.

v Repono ἐφίς.

v Vat. [illegible]

v Vat. [illegible] ταμον, quod corruptum censeo.

v Vat. [illegible] μιχθῆ [illegible] Puto tamen utrunque sic corrigendum, [illegible]

v adde [illegible] ex Vat.

v Var [illegible] quod minus placet.

v Vat. [illegible] male.

v Vat. [illegible] Corr.

v Var [illegible] male.

v Vat. addit.

Qui animum in res multas distribuat, eum non facilè scopum consequi.

CAP. VIII.

SED *hæc ita habeant, vt habere videbuntur harum rerum cætus ac peritus. Nos ad ea quæ consequuntur, progrediamur. Quid igitur erat quod dicebamus? Qui neque à diuinorum rerum studio desciscendum, nec matrimonium fugiendum confirmes, eum natura legem non proiecere, nec rem præclaram vt execrandam criminari. Nam vt in superiori nostro aquæ ac fontis exemplo, si agricola in campum aliquem aquam per canales deriuet, atque interea quoque exiguo defluxu sit opus, tantum effluere patietur, quantum pro re nata ac necessitate satis sit, & facile cum tota commiscere iterum possit: sin aquæ laxam ac liberam viam faciat, omnino periculum sit, ne derelicto recto cursu, tota in latus stagnet. Eodem modo quoniam opus est vitæ, mutua propagatione, qui ea sic vtatur, vt spiritualibus antepositis, parca ac moderata cupiditate harum rerum ducatur, propter temporis angustiam, ne ille frugi agricola sit, ex Apostoli decreto, non semper de reddendis frigidis illis debitis ignauè cogitans, sed castitatem inuicem desponsam precibus impendens: veritus ne eo studio totus fiat caro & sanguis, in quibus Dei spiritus non maneat. Ceterum qui*

διακείμενος ὡς μὴ δύνασθαι πρὸς τὴν τῆς φύσεως φορὰν ἀνδρικῶς στῆναι, κρεῖττον ἂν εἴη πόρρω τῶν τοιούτων ἑαυτὸν μᾶλλον ἀνέχων ἢ εἰς ἀγῶνα καθιὼν μείζονα τῆς δυνάμεως. κίνδυνος γὰρ ἐκ μικρᾶς προσαχθέντα τὸν τοιοῦτον ἐν τῇ πείρᾳ τῆς ἡδονῆς, μηδὲν ἕτερον ἀγαθὸν οἰηθῆναι ἢ τὸ διὰ σαρκὸς μετὰ προσπαθείας τινὸς λαμβανόμενον, καὶ ἀποστρέψαντα παντελῶς τὸν ἑαυτοῦ νοῦν ἀπὸ τῆς τῶν ἀσωμάτων ἀγαθῶν ἐπιθυμίας, ὅλον σαρκινὸν γενέσθαι, τὸ ἐν τούτοις ἡδὺ διὰ παντὸς τρόπου θηρεύοντα· ὡς φιλήδονον εἶναι μᾶλλον αὐτὸν ἢ φιλόθεον. ἐπειδὴ τοίνυν διὰ τὸ τῆς φύσεως ἀσθενές, οὐ παντός ἐστι τὸ εἰς τὰ τοιαῦτα συμμελείας ἐπιτυγχάνειν· ἐπικίνδυνον δὲ τὸ ἔξω τοῦ μέτρου παρεκχυθέντα εἰς ὕλην βυθοῦ κατὰ τὸν ψαλμῳδὸν ἐμπαγῆναι, λυσιτελὲς ἂν εἴη, καθὼς ὑφηγεῖται ὁ λόγος, ἀπείρατον τὸν τοιοῦτον διαβιῶναι· ὡς ἂν μὴ τῇ προφάσει τῶν συγκεχωρημένων εἴσοδον λάβοι κατὰ τῆς ψυχῆς τὰ πάθη.

Inclusa addita sunt ex Vat.

Vat. ἀντὶ αὐτ. μᾶλλον, 2. Tim. 3.

Emendo ἐμπαγῆναι Psal. 68. Emendo τὸν τοιοῦτον.

Ὅτι ἀμετάθετον ἐπὶ παντὸς ἡ συνήθεια.

Vat. δυσμετάθετον.

ΚΕΦ. Θ'.

Ἄμαχον γάρ ἐστιν ἐπὶ παντὸς ἡ συνήθεια, πολλὴν ἔχουσα δύναμιν πρὸς ἑαυτὴν ἑλκύσαι καὶ ἐπισπάσασθαι τὴν ψυχήν, καί τινα καλοῦ παρέχειν φαντασίαν, ἐν ᾧ ἄν τις χρόνον καὶ προσπάθειαν διὰ τοῦ προσεθισμοῦ τινα κτήσηται· καὶ οὐδὲν οὕτω φαῦλόν ἐστιν, ὡς ἐν συνηθείᾳ γενόμενον μὴ καὶ σπουδῆς ἄξιον καὶ αἱρετὸν νομισθῆναι. ἀπόδειξις τοῦ λόγου ὁ ἀνθρώπινος βίος· ἐν ᾧ τοσούτων ὄντων ἐθνῶν, οὐ τὰ αὐτὰ πάντα σπουδάζεται· ἀλλὰ δὲ παρ' ἑτέροις ἐστὶ καλὰ

Vat. ἄμαχον γάρ ἐστι.

Vat. οὐδὲν φαῦλον. Inclusa addita sunt ex Vat.

Digitized by Google

imbecillior ſit, quàm vt fortiter ad naturæ impetum ſe offirmet, cum eo melius agatur, ſi ab ijs procul ſe abducat potius, quàm in certamen deſcendat impar viribus. Neque enim leue periculum eſt, ne percipiendæ voluptatis, de gradu deiectus, nihil aliud bonũ cogitet quàm quod per carnem cum oblectatione quadam captatur, & animo ab incorporalium bonorum cupiditate planè auerſo, totus carnalis efficiatur, ac quod in iis inhæret iucundum, ſumma ope conſectetur, vt voluptatum quàm Dei amantior ſit. Itaque cùm quæ natura imbecillitas eſt, non cuiuſuis ſit modum in ijs rebus tenere, & periculum ſit ne prætergreſſus, in profundi cœnum ſecundum Pſalmodum demergatur, conſultum ſit, quod iam conſtituimus, earum rerum expertem degere, ne conceſſarum occaſione flagitia aditum in animum inueniant.

Conſuetudinem vitius rei difficulter deponi.

CAP. IX.

EST enim in omni re inexpugnabile quiddam conſuetudo, magnã vim habens ad animum cuiuſquã abripiendũ ac pelliciendũ, & eis rei, cuius ſtudiũ ac propenſionẽ aſſuetudine contraxerit, ſpeciẽ quandã boni cõciliandã, nec quicquã natura tã eſt fugiendũ, quã quæres in cõſuetudinẽ abierit, eã ſtudio dignã atq; amplectẽdã nõ videri. Atq; ei quidẽ ſententiæ argumẽto eſt humana vita, in qua cũ tantũ ſit gen-

καλά τε καὶ ἴδια, τῆς παρ᾽ ἑκάστου συνηθείας τὴν περί τε σπουδὴν τε καὶ ἐπιθυμίαν ποιούσης· καὶ οὐ μόνον κατὰ τὰ ἔθνη τὴν τοιαύτην παραλλαγὴν ἔστιν ἰδεῖν, τῶν αὐτῶν ἐπιτηδευμάτων παρά τισι μὲν θαυμαζομένων, διαβαλλομένων δὲ παρ᾽ ἑτέροις· ἀλλὰ καὶ ἐπὶ τοῦ αὐτοῦ ἔθνους καὶ τῆς αὐτῆς πόλεως καὶ γένους, ἐν οἷς πολλὴν ἔξεστι διαφορὰν ἰδεῖν, ἐκ τῆς συνηθείας ἑκάστοις ἐγγινομένην. οὕτως ἐκ μιᾶς ὠδῖνος ἀδελφοὶ προελθόντες εἰς γένεσιν τοῖς ἐπιτηδεύμασι τοῦ βίου πλεῖστον ἀπ᾽ ἀλλήλων ἐσχίσθησαν· καὶ οὔπω τοῦτο θαυμαστόν· ἐπεὶ καὶ ὁ καθέκαστον ἄνθρωπος οὐ τὴν αὐτὴν ὡς ἐπὶ τὸ πολὺ περὶ τοῦ αὐτοῦ πράγματος κρίσιν ἔχει, ἀλλ᾽ ὡς ἂν περὶ ἕκαστον ἀπὸ τῆς συνηθείας διατεθῇ· καὶ ἵνα μὴ τὰ πόρρω τοῦ πράγματος λέγωμεν· πολλοὺς ἡμῖν ἐγνωρίσαμεν ἐραστὰς μάλιστα τῆς σωφροσύνης εὐθὺς παρὰ τὴν πρώτην ἡλικίαν φανέντας· ἀρχὴν δὲ ῥυπαροῦ βίου ποιησαμένους τὴν δοκοῦσαν ἔννομόν τε καὶ συγκεχωρημένην τῶν ἡδονῶν μετουσίαν. ἐπεὶ γὰρ ἅπαξ τὴν τοιαύτην παρεδέξαντο πεῖραν, κατὰ τὸ ῥηθὲν ἡμῖν ἐπὶ τοῦ ῥείθρου ὑπόδειγμα, ὅλον πρὸς ταῦτα τὸ ἐπιθυμητικὸν μεταστρέψαντες, καὶ τὴν ὁρμὴν ἀπὸ τῶν θειοτέρων πρὸς τὰ ταπεινὰ καὶ ὑλώδη μετοχετεύσαντες, πολλὴν ἐν ἑαυτοῖς τὴν εὐρυχωρίαν τοῖς πάθεσιν ἤνοιξαν· ὡς παντελῶς τῆς ἐπὶ τὸ ἄνω φορᾶς λῆξαι καὶ ἀποξηρανθῆναι, τῆς ἐπιθυμίας ὅλης πρὸς τὰ πάθη μεταρρυείσης. διὰ τοῦτο λυσιτελὲς εἶναι νομίζομεν τοῖς ἀσθενεστέροις εἰς τὴν παρθενίαν ὡς εἰς ἀσφαλές τι φρούριον καταφεύγειν, καὶ μὴ πρὸς τὴν ἀκολουθίαν κατιόντας τοῦ βίου προσκαλεῖσθαι καθ᾽ ἑαυτῶν πειρασμούς, καὶ τοῖς

απ-

[illegible]

φορᾶς Va. in quo sic est τῆς ἐπιθυμίας [illegible] τὰ πάθη μεταρρυείσης.

gentium, non idem tamen omnibus ſtudium ſit, ſed alia apud alias egregia ac præclara habeantur, conſuetudine cuiuſque, ſtudium ac cupiditatem rei vllius gignente. Nec verò inter gentes tantum eam diſſimilitudinem videre eſt, vt eadem ſtudia aliis admirationi, aliis crimini habeantur; ſed etiam in eadem gente, vrbe, atque ſtirpe: in quibus varietatem magnam cernas, ex ſua cuiuſque conſuetudine contractam. Ita fratres gemelli editi in diuerſiſſimos mores ac ingenia diſceſſerunt. Neque id quidem mirum eſt: quando & homines ſinguli non idem habent plerunq; de eadem re iudicium, ſed prout ad rem quamque conſuetudine affecti ſint. Ac ne quid alius re dicamus: multos nouimus ſummos iam in prima ætate temperantiæ amatores, initium ſibi impuratæ vitæ à legitima, quæ videatur, ac conceſſa voluptatum perceptione acerſiſſe. Qui enim ſemel periculum feciſſent, ac porrò, vt in exemplo noſtro confluentis, cupiditatem omnem eò conferrent, atque à rebus diuinis ad humanas ac materiatas ſtudium deriuarent, Dij boni, quantam ſibi ad flagitia feneſtram aperuerunt. Itaque omnis eorum cupiditas à ſublimi impetu repreſſa eſt, atque "exſiccata" quippe tota ad libidinem traducta. Qua re imbecillioribus conſultum credimus, vt ad virginitatem velut firmum præſidium confugiant, neque ad vitæ ſeriem progreſſi, ſibi ipſi tentationes accerſant, cum iiſq; quæ cum

Vt apud Hora. Zethus & Amphion. & Ge. 25. Eſau & Iacobus.

"Membrum eſt [illegible], quibus ab eo detractum, neceſſe eſt prurire aliorum [illegible]

Rom.7 ἀντιστρατευομένοις ' τῷ νόμῳ τοῦ νοὸς ἡμῶν διὰ τῶν τῆς σαρκὸς
19 παθημάτων συμπλέκεσθαι, *καὶ κινδυνεύειν ἢ περὶ γῆς ὅ-
ρων, ἢ χρημάτων ἀποβολῆς, ἢ ἄλλου τινὸς τῶν κατὰ τὴν ζωὴν
vadde ex Vat. [illegible] ταύτην σπουδαζομένων, ἀλλὰ ' τῆς προηγγελμένης ἐλπίδος.
y ap. τῇ διανοίᾳ ex collect. nostra & Vat. οὐκ ἔστι γὰρ τὸν εἰς τὸν κόσμον τοῦτον ἀποστρέφοντα ' τῇ διανοίᾳ καὶ
² Vat. & Al. τὴν ² ἐνθάδε μέριμναν ἀναλαβόντα, καὶ εἰς ἀνθρωπίνην
‡ Vat. [illegible] ἀρέσκειαν ‡ἀκολουθοῦντα ἑαυτοῦ τὴν καρδίαν, πληρωτὴν γενέσθαι
τῆς πρώτης καὶ μεγάλης ἐντολῆς τοῦ κυρίου, ἥ φησιν ἐξ ὅλης
Deut.6 καρδίας καὶ δυνάμεως τὸν θεὸν ἀγαπᾶν· πῶς γὰρ ἀγαπήσει τις
' absunt à Vat. ἐξ ὅλης καρδίας ' καὶ δυνάμεως ' τὸν θεὸν, ὅταν καταμερίζῃ
' absunt à Vat. τὴν καρδίαν ἑαυτοῦ πρὸς θεὸν καὶ κόσμον, καὶ κλέπτων ' τρόπον
τινὰ ' τὴν ἐκείνῳ μόνῳ χρεωστουμένην ἀγάπην, ἀνθρωπίνοις
1 Cor.7 αὐτὴν πάθεσι προσαναλίσκῃ; ὁ γὰρ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυ-
vadde ἡ ex Vat. ρίου· ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου. εἰ δὲ ἐπίπονος ' πρὸς
τὰς ἡδονὰς μάχη δοκεῖ, θαρρείτω πᾶς· οὐδὲ γὰρ πρὸς τοῦτο μι-
κρὰ ἡ συνήθεια καὶ τοῖς δυσκολωτάτοις εἶναι δοκοῦσιν ἡδονήν τι-
να διὰ τῆς ἐπιμονῆς ἐνεργάσασθαι· καὶ ἡδονὴν τὴν καλλίστην καὶ
καθαρωτάτην, ἧς ἄξιόν ἐστι τόν γε νοῦν ἔχοντα περιέχεσθαι μᾶλ-
λον ἢ τῇ περὶ τὰ ταπεινὰ μικροπρεπείᾳ, τῶν μεγάλων κατ'
ἀλήθειαν, καὶ πάντα νοῦν ὑπερεχόντων ἀλλοτριοῦσθαι.

mentis noſtræ lege corporis libidinibus confligant, manum conferant, atque in diſcrimen veniant non finium terræ, aut numorum rapturæ, aut alterius cuiuſquam rei quæ in vita ambiatur, ſed ſpes illius principis. Neque enim poteſt qui mentem ad hunc mundum aduertat, & harum rerum curam ſuſcipiat, atque ad hominum gratiam animum comparet, primo illo ac magno Dei mandato perfungi, quo Deum diligere iubemur tota mente, totis viribus. Qui enim queat Deum diligere tota mente, totis viribus, qui mentem in Deum ac mundum diſtribuerit, & caritatem quam illi ſoli debeat, vt ita dixerim, furatus in humanos affectus cõſumat? nam cælebs Domini res, maritus mundana curat. Quod ſi cui arduum videtur cum voluptatibus certamen, is bono animo ſit: neque enim hic parum valet cõſuetudo ad conciliandam peruicaciam quandam etiam in ea pro deſperatis habeantur, voluptatem, atque eam & pulcerrimam & integerrimam, & qua ſapienti potius amplectenda ſit, quam rebus nauci conſectandis, illa verè magna, & quæ cogitationem omnem ſuperent, de manu dimittenda.

Τί τὸ ἀληθῶς ἐπιθυμητόν.

ΚΕΦ. Ι΄

Ὅση γάρ ἐστιν ἡ ζημία ἐν ἀποπτώσει γενέσθαι τῆς τοῦ ὄντως καλοῦ κλήσεως, τίς ἂν παραστήσειε λόγος; ποία δ' ἂν χρήσαιτο διανοίας ὑπερβολῇ; πῶς ἂν ἐνδείξαιτο καὶ εἰς ὑπογραφὴν ἀγάγοι τὸ καὶ λόγῳ ἄρρητον καὶ νοήματι ἄληπτον· εἰ μὲν γάρ τις ἤδη τοσοῦτον τὸ τῆς καρδίας ὄμμα κεκάθαρται, ὡς δυνηθῆναι πως ἰδεῖν τὸ ἐν τοῖς μακαρισμοῖς ὑπὸ τοῦ κυρίου ἐπηγγελμένον, πάσης καταγνώσεται ἀνθρωπίνης φωνῆς, ὡς οὐδεμίαν ἐχούσης δύναμιν εἰς τὴν τοῦ νοηθέντος παράστασιν· εἰ δέ τις ἔτι τοῖς ὑλικοῖς ὑποκαθήμενος πάθεσι, καθάπερ ὑπὸ λύμης τινὸς τῆς ἐμπαθοῦς διαθέσεως τὸ διορατικὸν τῆς ψυχῆς ἐπιπέπλασται, μάταια καὶ οὕτω πᾶσα λόγων ἰσχύς· ἐπὶ γὰρ τῶν ἀναισθήτων ἐχόντων, ἐν τῷ ὁμοίῳ καθέστηκε τό, τε ἐλαττοῦν διὰ τοῦ λόγου, καὶ τὸ ὑπεραίρειν τὰ θαύματα· ὡς καὶ ἐπὶ τῆς ἡλιακῆς ἀκτῖνος, τῷ μὴ τεθεαμένῳ τὸ φῶς ἀπὸ πρώτης γενέσεως ἀργὴ καὶ ἀνόνητος γίνεται ἡ διὰ τῶν λέξεων τοῦ φωτὸς ἑρμηνεία· οὐ γάρ ἐστι δυνατὸν τὴν τῆς ἀκτῖνος λαμπηδόνα δι' ἀκοῆς ἐναυγάσαι· οὕτω καὶ ἐπὶ τοῦ ἀληθινοῦ καὶ νοητοῦ φωτός, ἰδίων ὀφθαλμῶν ἑκάστῳ χρεία, ἵνα τὸ κάλλος ἐκεῖνο θεάσηται, ὅπερ ὁ μὲν ἰδὼν κατά τινα θείαν δωρεὰν ἐπίπνοιαν, ἀνερμήνευτον ἐν τῷ ἀπορρήτῳ τῆς συνειδήσεως ἔχει τὴν ἔκπληξιν· ὁ δὲ μὴ τεθεαμένος, οὐδὲ γνωρίζει τὴν ζημίαν ὧν ἀπεστέρηται· πῶς γὰρ ἄν τις τὸ διαπεφευγὸς αὐτὸν ἀγαθὸν παραστήσειε; πῶς δ' ἄν τις ὑπ' ὄψιν ἀγάγοι τὸ ἄφραστον; ἰδίας

φωνὰς

γρ. κλήσεως. Vat. [illegible] Ego [illegible] lectione [illegible]

Vat. [illegible]

Matth. 5

Vat. [illegible]

γρ. λήμης.

Vat. [illegible]

Var. [illegible] neque hoc quidē rectè

Vat. [illegible]

valde depr. in Vat.

Quid ſit quod vere expetendum ſit.

CAP. X

ETENIM *quantum malum ſit deiici de veri boni poſſeſſione, quæ dicendi tātа vis tantaq́ copia eſt, cuius tantū flumen ingenij, quod exprimere poſſit ac conſequi? aut qui deſcribat & tanquā ſub oculis collocet, quod nec oratione explicari, nec cogitatione informari poteſt? Quod ſi cui.n. animi velut oculus tā purgatus ſit, vt 'quod Dominus in referēda hominū beatitudine promittat, intueatur, ne ille humanā omnē vocē eā cenſeat, quæ ad repræſentādū quod cōprehendat, planè ſit inefficax. Sin adhuc craſſis affectionibus 'ſubeſt, et animi aciē ferendi & quaſi patiēdi neceſſitate velut lippitudine habet oppletā, ne ſic quidē vlla dicendi cōtentio frugi futura eſt. Nā in iis qui ſine ſenſu ſint, perinde eſt, eleues verbis an amplifices miracula: vt et in ſolis radio, ei qui à primo ortu lucē nullā viderit, iners ac inanis ſit lucis oratione explicatio: neque enim poteſt radij lux per aures illuſtrari. Ita in vera quoque luce, & quæ ratione intelligatur, ſuis cuique oculis opus eſt ad pulcritudinem illam cernendam, quam qui diuina munificentia ac fauore ſit intuitus, inexplicabili admiratione in conſcientiæ arcano afficitur. At qui non viderit, is nec iacturam intelliget rerum quibus priuatus ſit. Quis enim bonum quod eum fugerit, proponat? quis quod verbis conſequi non poſſit, ſub aſpectum deducat? Proprias*

'id eſt Dei.

'[illegible]

*Var. [illegible]

Haec est & in Var. sed [illegible] [illegible]

[illegible] abest à Var.

Inclusa [illegible] addita sunt ex Var.

Psal. 115

[illegible] abest à Var.

*adde [illegible] ex Var.

*Var. [illegible]

*Var. [illegible]

*Emenda [illegible]

20

*adde [illegible] ex Var.

*adde ex Var. [illegible]

˝φωτὰς σημαντικὰς ἐκείνου τοῦ κάλλους οὐ μεμαθήκαμεν· ὑπόδειγμα τοῦ ζητουμένου ἐν τοῖς οὖσιν ˝οὐκ ἔστιν· οὐδὲ ἐκ συγκρίσεως ˝γενέσθαι αὐτὸ δηλωθῆναι ἀμήχανον. ˝τίς γὰρ ὀλίγῳ σπινθῆρι προσεικάζει τὸν ἥλιον; ἢ ῥανίδα βραχεῖαν πρὸς τὴν τῶν ἀβύσσων ἀπειρίαν ἀντεξίςησιν· ὃν γὰρ ἔχει λόγον πρὸς τὰς ἀβύσσους ἡ ὀλίγη σταγών, ἢ πρὸς τὴν μεγάλην ἀκτῖνα τοῦ ἡλίου τὸ μικρὸν σπινθηράκιον· οὕτω διάκειται καὶ πάντα τὰ παρὰ τῶν ἀνθρώπων ὡς καλὰ θαυμαζόμενα πρὸς ἐκεῖνο τὸ κάλλος, ὃ περὶ τὸ πρῶτον ἀγαθόν, καὶ τὸ ἐπέκεινα παντὸς ἀγαθοῦ θεωρεῖται· τίς οὖν ἐπίνοια τὸ μέγεθος τῆς ζημίας τοῖς παθοῦσι τὴν ζημίαν ταύτην ἐνδείξεται. ˝καλῶς μοι δοκεῖ ὁ μέγας Δαβὶδ τὴν ἀμηχανίαν ἐνδεδεῖχθαι ταύτην· ὃς ἐπειδή ποτε δυνάμει τοῦ πνεύματος ὑψωθεὶς τὴν διάνοιαν, καὶ οἷον ἐκβὰς αὐτὸς ἑαυτόν, εἶδεν ἐκεῖνο τὸ ἀμήχανον καὶ ἀπερινόητον κάλλος ἐν τῇ μακαρίᾳ ἐκείνῃ ἐκστάσει· ˝εἶδε δὲ πάντως ὡς ἀνθρώπῳ ˝γε ˝δυνατόν, ἔξω τῶν τῆς σαρκὸς προκαλυμμάτων γενόμενος, καὶ εἰσελθὼν διὰ μόνης διανοίας εἰς τὴν τῶν ἀσωμάτων καὶ νοητῶν θεωρίαν· ἐπειδὴ καὶ εἰπεῖν ἄξιον τοῦ ὀφθέντος ˝ἐπόθησεν, ἐκείνην ἐξεβόησε τὴν φωνήν, ἣν πάντες ᾄδουσιν ὅτι πᾶς ἄνθρωπος ψεύστης· τοῦτο δέ ἐστιν, ˝ὡς ὁ ἐμὸς λόγος, ὅτι πᾶς ἄνθρωπος φωνῇ ἐπιτρέπων τὴν τοῦ ἀφράστου φωτὸς ˝ἑρμηνείαν, ὄντως ψεύστης ἐστίν· *οὐχὶ τῷ μισεῖν αὐτήν, ἀλλὰ τῷ ἀτονεῖν περὶ τὴν τοῦ νοηθέντος παράστασιν· τὸ μὲν γὰρ αἰσθητὸν κάλλος, ὅσον κάτω περὶ τὸν ἡμέτερον ἀναστρέφεται βίον, εἴτε ˝ἀψύχοις ὕλαις, εἴτε καὶ ˝σώμασιν ἐμψύχοις διά τινος εὐχροίας ἐμφανταζόμε-

voces quæ eam pulcritudinem ſignificēt nullas nouimus, exemplū rei quā quæramus in omni vniuerſo nullū eſt, comparatione quidem certè explicari nullo pacto poteſt. Quis enim exigua ſcintilla ſolem cōferat, aut tenuē guttulam cū profundi infinitudine cōtendat. Quæ enim cōparatio eſt tenuis guttulæ cū profundo, aut exiguæ ſcintillulæ cū ingēti ſolis radio? ea ratio eſt omniū quæ homines velut pulcra admirentur, ad eam pulcritudinem, quæ in principe bono, & quod vltra bonorū omniū ordinem conſtitutū ſit intelligatur. Ecquæ igitur ingenij contentio iacturæ magnitudinem ei qui eam paſſus ſit, explanet? Præclare eā difficultatem magnus ille Dauid declaraſſe mihi videtur: qui aliquādo animo vi Numinis ſublato, & velut ſibi ſurreptus, pulcritudine illa deſperata, & quæ cōpræhendi nō poſſit, in beato illo mentis raptu cōſpecta, (conſpicatus eſt autem procul dubio, vt homini fas eſt, corporis velut integumentis dereptus, & ſola cogitatione rerū incorporearū, & quæ mente intelligantur, cōtemplationē ingreſſus) aliquid etiam dignū geſtiens ea re quam vidiſſet effari, vocē illam omnibus decantatam protulit: Omnis homo mendax eſt: id eſt, vt nos quidem interpretamur qui inexplicabilis illius lucis declarationē verbis credat, is vere mendax eſt: nō quidē qui veritatem oderit, ſed qui impar ſit rei quam compræhendiſſet, repræſentādæ. Nam pulcritudinē quidem omnē ſenſilē, quæ in vita noſtra deorſum verſetur, ſiue illa in inanimis mate-

φωνὰς σημαντικὰς ἐκείνου τοῦ κάλλους οὐ μεμαθήκαμεν· ὑπόδειγμα τοῦ ζητουμένου ἐν τοῖς οὖσιν οὐκ ἔστιν· οὐδὲ ἐκ συγκρίσεως ** γομένην αὐτὸ δηλωθῆναι ἀμήχανον. τίς γὰρ ὀλίγῳ σπινθῆρι προσεικάζει τὸν ἥλιον, ἢ ῥανίδα βραχεῖαν πρὸς τὴν τῶν ἀβύσσων ἀπειρίαν συνδείκνυσιν· ὃν γὰρ ἔχει λόγον πρὸς τὰς ἀβύσσους ἡ ὀλίγη σταγὼν, ἢ πρὸς τὴν μεγάλην ἀκτῖνα τοῦ ἡλίου τὸ μικρὸν σπινθηρίδιον· οὕτω διάκειται καὶ πάντα τὰ παρὰ τῶν ἀνθρώπων ὡς καλὰ θαυμαζόμενα πρὸς ἐκεῖνο τὸ κάλλος, ὃ περὶ τὸ πρῶτον ἀγαθὸν, καὶ τὸ ἐπέκεινα παντὸς ἀγαθοῦ θεωρεῖται· τίς οὖν ἐπίνοια τὸ μέγεθος τῆς ζημίας τοῖς παθοῦσι τὴν ζημίαν ταύτην ἐνδείξεται. καλῶς μοι δοκεῖ ὁ μέγας Δαβὶδ τὴν ἀμηχανίαν ἐνδεδεῖχθαι ταύτην· ὃς ἐπειδή ποτε δυνάμει τοῦ πνεύματος ὑψωθεὶς τὴν διάνοιαν, καὶ οἷον ἐκβὰς αὐτὸς ἑαυτὸν, εἶδεν ἐκεῖνο τὸ ἀμήχανον καὶ ἀπερινόητον κάλλος ἐν τῇ μακαρίᾳ ἐκείνῃ ἐκστάσει· εἶδε δὲ πάντως ὡς ἀνθρώπῳ γε δυνατὸν, ἔξω τῶν τῆς σαρκὸς προκαλυμμάτων γενόμενος, καὶ εἰσελθὼν διὰ μόνης διανοίας εἰς τὴν τῶν ἀσωμάτων καὶ νοητῶν θεωρίαν· ἐπειδή τι καὶ εἰπεῖν ἄξιον τοῦ ὀφθέντος ἐπόθησεν, ἐκείνην ἐξεβόησε τὴν φωνὴν, ἣν πάντες ᾄδουσιν· ὅτι πᾶς ἄνθρωπος ψεύστης· τοῦτο δέ ἐστιν, ὡς ὁ ἐμὸς λόγος, ὅτι πᾶς ἄνθρωπος φωνῇ ἐπιτρέπων τὴν τοῦ ἀφράστου φωτὸς ἑρμηνείαν, ὄντως ψεύστης ἐστίν· *οὐχὶ τῷ μισεῖν αὐτὴν, ἀλλὰ τῷ ἀσθενεῖν περὶ τὴν τοῦ νοηθέντος παράστασιν· τὸ μὲν γὰρ αἰσθητὸν κάλλος, ὅσον κάτω περὶ τὸν ἡμέτερον διαστρέφεται βίον, εἴτε ἀψύχοις ὕλαις, εἴτε καὶ σώμασιν ἐμψύχοις διά τινος εὐχροίας ἐμφανταζόμε-

Vat. [illegible]

[illegible] Vat. [illegible] abest à Vat. Inclusa addita sunt ex Vat.

Psal. 115.

** abest à Vat. [illegible] ex Vat.

Vat. [illegible]

Vat. [illegible]

[illegible]

addit [illegible] ex Vat.

addit [illegible] Vat. [illegible]

voces quæ eam pulcritudinem ſignificẽt nullas nouimus, exemplũ rei quã quæramus in omni vniuerſo nullũ eſt, comparatione quidem certè explicari nullo pacto poteſt. Quis enim exiguæ ſcintillæ ſolem cõferat, aut tenuẽ guttulam cũ profundi infinitudine cõtendat. Quæ enim cõparatio eſt tenuis guttulæ cũ profundo, aut exiguæ ſcintillulæ cũ ingẽti ſolis radio? ea ratio eſt omniũ quæ homines velut pulcra admirentur, ad eam pulcritudinem, quæ in principe bono, & quod vltra bonorũ omniũ ordinem conſtitutũ ſit intelligatur. Ecquæ igitur ingenij contentio iacturæ magnitudinem ei qui eam paſſus ſit, explanet? Præclarè eã difficultatem magnus ille Dauid declaraſſe mihi videtur qui aliquãdo animo vi Numinis ſublato, & velut ſibi ſurreptus, pulcritudine illa deſperata, & quæ cõprehendi nõ poßit, in beato illo mentis raptu cõſpecta, (conſpicatus eſt autem procul dubio, vt homini fas eſt, corporis velut integumentis dereptus, & ſola cogitatione rerũ incorporearũ, & quæ mente intelligantur, cõtemplationẽ ingreſſus) aliquid etiam dignũ geſtiens ea re quam vidiſſet effari, vocẽ illam omnibus decantatam protulit· Omnis homo mendax eſt· id eſt, vt nos quidem interpretamur qui inexplicabilis illius lucis declarationẽ verbis credat, is verè mendax eſt· nõ quidẽ qui veritatem oderit, ſed qui impar ſit rei quam comprehendiſſet, repræſentãdæ. Nam pulcritudinẽ quidem omnẽ ſenſilẽ, quæ in vita noſtra deorſum verſetur, ſiue illa in inanimis

mate-

ζόμενον, αὐτάρκης ἡμῖν ἡ κατὰ τὴν αἴσθησιν δύναμις καὶ θαυμάσαι, καὶ ἀποδέξασθαι, καὶ γνώριμον ἑτέρῳ ποιῆσαι, διὰ τῆς τῶν λόγων γραφῆς, ὥσπερ ἐν εἰκόνι τινὶ τῷ λόγῳ τοῦ τοιούτου κάλλους ἐγγραφομένου· οὐδὲ τὸ ἀρχέτυπον διαφεύγει τὴν κατανόησιν, πῶς δ᾽ ἂν ὁ λόγος ὑπ᾽ ὄψιν ἀγάγοι, οὐδεμίαν μηχανὴν ἐξευρίσκων ὑπογραφῆς, οὐ χροιὰν ἔχων εἰπεῖν, οὐ σχῆμα, οὐ μέγεθος, οὐ μορφῆς εὐμοιρίαν, οὐδέ τινα ὅλως φλυαρίαν τοιαύτην· τὸ γὰρ ἀειδὲς πάντη, καὶ ἀσχημάτιστον, καὶ πηλικότητος πάσης ἀλλότριον, καὶ πάντων ˙τῶν ὄντων˙ περὶ σῶμα καὶ αἴσθησιν θεωρεῖται, πόρρωθεν ἱδρυμένον, πῶς αὐτὸ διὰ τῶν μόνῃ τῇ αἰσθήσει καταλαμβανομένων γνωρισθείη, οὐ μὴν διὰ τοῦτό γε ἀπογνωστέον ἡμῖν τῆς ἐπιθυμίας ταύτης, ὅτι ὑψηλοτέρα φαίνεται τῆς καταλήψεως· ἀλλ᾽ ὅσῳ μέγα τὸ ζητούμενον, ˙τοσούτῳ μᾶλλον ὑψοῦσθαι χρὴ τὴν διάνοιαν καὶ συνεπαίρεσθαι τῷ μεγέθει τοῦ ζητουμένου, ˙μὴ παντελῶς ἔξω γενέσθαι τῆς τοῦ ἀγαθοῦ μετουσίας· κίνδυνος γὰρ οὐ μικρὸς μὴ τῷ λίαν ὑψηλῷ τε καὶ ἀρρήτῳ παντάπασι τῆς περὶ αὐτὸ ἐννοίας ἀπολισθήσωμεν, μηδενὶ γνωρίμῳ τὴν κατανόησιν ˙ἐπερείδοντες.

*Vat. contu- pit longe

Vg. δ ἐξ εκ coniecit. Caeteri & Vat. * adde μηδὲ ex Vat.

* ἄλλως ex Vat. sed & hoc aut simile aliquid addendum nobis videtur.

valde [illegible] ex Vat. [illegible] valde de ex coniecit nostra & Vat.

valde aliud ex Vat.

Πῶς ἄν τις ἐν ἐννοίᾳ γένοιτο τοῦ ὄντως καλοῦ.

ΚΕΦ. ΙΑ.

ΔΕῖ τοίνυν τῆς ἀσθενείας ἕνεκεν ταύτης διὰ τῶν τῇ αἰσθήσει γνωρίμων χειραγωγεῖν πρὸς τὸ ἀόρατον τὴν διάνοιαν· ἡ δὲ ἐπίνοια γένοιτο ἂν ἡμῖν τοιαύτη· ὥσπερ τοίνυν οἱ μὲν ˙ἐπιπολαιότερον δίχα διανοίας τὰ πράγματα βλέποντες, ἐπειδὰν ἴδωσιν ἄν-

θρω-

*fragm nostrum caput hunc assumatur hoc modo [illegible] [illegible] Vat. [illegible]

Google

materiis, ſiue in corporibus animatis per venuſtatẽ quãdã intelligatur, vis ea quæ ineſt in nobis ſentiendi, & admirari, & percipere, & alteri aperire cõmodè poteſt, ea in oratione tãquam effigie quadã verborũ velut pictura expreſſa. At vbi primigenia pulcritudo animi cõprehenſionẽ effugiat, qua oratio eã ſub aſpectũ deducat, nullam eius deſcribendæ rationẽ inueniens, nec colorẽ, nec figurã, nec magnitudinẽ, nec formæ venuſtatẽ, neq; alias plane id genus nugas habẽs dicere. Nã quod omnino ſine forma ac figura ſit, atq; ab omni mole alienũ, ab iiſq; quæ circa corpus atq; ſenſu intelligantur, procul abiũctũ, id verò qui tandẽ poteſt per ea quæ ſolo ſenſu cõprehendãtur, aperire? Nec verò propterea cupiditas hæc a nobis pro derelicta eſt habẽda, quod ſublimior videatur, quã quæ ſub intelligentiam cadat, ſed quo maior declarata eſt res ea quam affectemus, eo magis erigendus eſt animus, & pro rei quam quæramus maieſtate ſuſtollendus, ne eius boni fructu in totũ careamus. Periculum eſt enim non leue, ne quod arduum ac reconditum ſit, omnino eius notitia excidamus, cogitatione nulla re certa confirmata.

ſcilicet pulcritudinis illius intelligendæ ſic licet ea pulcritudo.

Quæ ratio ſit comprehendendi veri boni CAP. II.

QVARE cũ ea noſtra imbecillitas ſit, manuducẽda cogitatio eſt per res quaſdã ſenſui exploratas ad id quod obtutũ fugiat oculorum. Ac ratio qdẽ hæc ſit. Itaq; quaſi ꝗ exteriores tãtũ res nulla penitiori cõtẽplatione intueãtur, cũ hominẽ, ſeu

θρωπον ἢ ὅπερ ἂν τύχῃ τῶν φαινομένων, πλέον οὐδὲν τοῦ ὁρωμένου περιεργαζόμενοι. ἀρκεῖ γὰρ αὐτοῖς θεασαμένοις τὸν ὄγκον τοῦ σώματος, ὅλον νομίσαι τὸν τοῦ ἀνθρώπου λόγον κατειληφέναι. ὁ δὲ διορατικὸς τὴν ψυχὴν, καὶ πεπαιδευμένος μὴ μόνοις ὀφθαλμοῖς ἐπιτρέπειν τὴν τῶν ὄντων ἐπίσκεψιν, οὐ μέχρι τῶν φαινομένων [a] ἵσταται, οὐδὲ τὸ μὴ βλεπόμενον ἐν τοῖς [b] μὴ οὖσι λογίζεται· ἀλλὰ καὶ ψυχῆς φύσιν περινοεῖ, καὶ τὰς [c] τοῦ σώματος ἐμφαινομένας ποιότητας, καὶ κοινῇ [d] καὶ καθ' ἑαυτὰς ἐπισκέπτεται· ἰδίᾳ τε γὰρ αὐτῶν ἑκάστην χωρίζει τῷ λόγῳ, καὶ πάλιν τὴν κοινὴν [e] αὐτῶν συνδρομήν τε καὶ σύμπνοιαν περὶ τὴν τοῦ ὑποκειμένου σύστασιν θεωρεῖ. οὕτως οὖν καὶ ἐν τῇ τοῦ καλοῦ ζητήσει, ὁ μὲν ἀτελὴς τὴν διάνοιαν, ἐπειδὰν ἴδῃ τι πρᾶγμα ᾧ κάλλους τινὸς περικέχυται φαντασία, αὐτὸ ἐκεῖνο καλὸν εἶναι τῇ ἑαυτοῦ φύσει οἴεται, ὅπερ ἂν τὴν αἴσθησιν αὐτοῦ δι' ἡδονῆς ἐπισπάσηται, [f] καὶ οὐδὲν ὑπὲρ τοῦτο πλέον περιεργάζεται. ὁ δὲ κεκαθαρμένος τὸν τῆς ψυχῆς ὀφθαλμὸν, καὶ δυνατὸς τὰ τοιαῦτα βλέπειν, χαίρειν ἐάσας τὴν ὕλην τὴν ὑποβεβλημένην τῇ τοῦ καλοῦ ἰδέᾳ, οἷον ὑποβάθρᾳ τινὶ τῷ ὁρωμένῳ χρήσεται, πρὸς τὴν τοῦ νοητοῦ [g] θεωρίαν οὗ κατὰ μετουσίαν τὰ ἄλλα καλά γίνεταί τε καὶ ὀνομάζεται. δοκεῖ δέ μοι χαλεπὸν εἶναι τῶν πλείστων τῇ τοιαύτῃ παχύτητι [h] συζώντων, [i] διατεμόντας τῷ λόγῳ καὶ χωρίσαντας τὴν ὕλην ἀπὸ τοῦ [k] θεωρουμένου κάλλους, αὐτὴν ἐφ' ἑαυτῆς τοῦ καλοῦ τὴν φύσιν κατανοῆσαι. καὶ εἴ τις ἀκριβῶς ἐθέλοι τὴν αἰτίαν σκοπεῖν τῶν πεπλανημένων καὶ μοχθηρῶν ὑπολήψεων, οὐκ ἂν μοι δοκεῖ ἄλλην εὑρεῖν, ἢ τὸ, [l] ἀκριβῶς ἡμῖν γεγυμνάσθαι τὰ τῆς ψυχῆς αἰσθητήρια πρὸς τὴν

[a] Var. εἴσω.

[b] abest negatio à Var. male.

[c] Var. τῷ σώματι [illegible] male.

[d] addidi καὶ ex coniectura & Var.

[e] abest à Var. minus recte.

[f] Inclusa addita sunt ex Var.

[g] addidi θεωρίαν ex Var.

[h] [illegible] ex Var.

[i] valde [illegible] ex Var.

[k] [illegible] ex Var.

[l] Puto deesse μὴ [illegible] capite 4.

quicquid illud ſit quod ſub aſpectū veniat, conſpiciunt, nihil aliud eius quod ſub oculos ſubiectum ſit rimantur. Sufficit.n.illis mole corporis cōſpecta, arbitrari totā ſe hominis rationē cōprahendiſſe. At qui animo ſit perſpicaci, & illud probè calleat, non eſſe rerū conſiderationem ſolis oculis permittēdā, na ille haud hęret in iis quę appareāt, nec quod non videatur in iis rebus quę nullę ſint numerat, ſed & animi naturā indagat, et corporis qualitates quę offerātur, & ſimul & ſingulatim ſcrutatur: nā & vnāquanqꝫ cogitatione ſeiungit, et rurſum cōmunē earū cōcurſum ac cōſpirationem ad cōſtituendā rem ſubiectā cōtemplatur. Eodē modo et in pulcri perueſtigatione, cui mēs ſit imperfecta, re vlla cui ſpecies quędā pulcritudinis offuſa ſit, cōſpecta, eā natura vi pulcrā cogitabit, quę ꝗdē ei⁹ ſensū ꝑ voluptatē pellexerit, nec pręter eā ꝗcquā reꝗret. At cui animi velut ocul⁹ ſit purgatus, et harū rerū ꝑſpicax, materia quę ſub pulcri formā ſubiecta ſit, valere iuſſa, eo quod cōſpiciat tanq̄ ſcabello vtetur ad cōtēplationē pulcritudinis quę intelligentia cernatur, cuius cōmunione cęterę res omnes pulcrę et ſint et vocētur. Sed.n. difficile mihi videtur, cū pleriqꝫ oēs ea ingenij craßitie afflictemur, materia cogitatione à pulcritudine quę in ea inhęreat, derepta ac ſeiūcta, ipſā ꝑ ſe pulcri naturā cōtēplari. Ac ſi ꝗs accuratè vitioſarū ac deprauatarū opinationū cauſā ꝑquirat, nō aliā mihi reperturus videtur, q̄ ꝙ animi noſtri tanq̄ ſenſus parū diligēter exercitati ſint

τὴν τοῦ καλοῦ καὶ μὴ τοιούτου διακειμένην· διὰ τοῦτο ἀποστάντες οἱ ἄνθρωποι τῆς περὶ τὸ ὄντως ἀγαθὸν σπουδῆς, οἱ μὲν εἰς ἔρωτα σαρκῶν κατωλίσθησαν· οἱ δὲ ἐπὶ τὴν ἄψυχον τῶν χρημάτων ὕλην ταῖς ἐπιθυμίαις ἔρεψαν· ἄλλοι ἐν τιμαῖς καὶ δόξαις καὶ δυναστείαις τὸ καλὸν ὡρίσαντο· εἰσὶ δέ τινες οἱ περὶ τέχνας καὶ ἐπιστήμας †διεπτοήθησαν· οἱ δὲ ἀνδραποδωδέστεροι τούτων, λαιμὸν καὶ γαστέρα τοῦ ἀγαθοῦ ποιοῦνται κριτήρια. †οἱ δὲ ἀποστάντες τῶν ὑλικῶν νοημάτων, καὶ τῶν περὶ τὰ φαινόμενα προσπαθειῶν, ἀνεζήτουν τὴν ἁπλῆν τε καὶ ἄϋλον καὶ ἀσχημάτιστον τοῦ καλοῦ φύσιν, οὐκ ἂν περὶ τὴν αἵρεσιν τῶν ἐπιθυμητῶν ἐπλανήθησαν, οὐδ' ἂν τοσοῦτον ὑπὸ τῆς τοιαύτης ἀπάτης παρηνέχθησαν, ὡς μηδὲ τὸ πρόσκαιρον τῆς ἐν τούτοις ἡδονῆς βλέποντας πρὸς τὴν ὑπερόψιν ˋτῶν τοιούτωνʼ ὁδηγηθῆναι. ‡ἀλλ' ἔτι καὶ αὐτὴ ἂν γένοιτο ἡμῖν ὁδὸς εἰς τὴν τοῦ καλοῦ εὕρεσιν ἄγουσα, τὸ πάντα τὰ ἄλλα ὅσα τὰς ἐπιθυμίας τῶν ἀνθρώπων ἐφέλκεται), καλὰ εἶναι νομιζόμενα, ˋκαὶ διὰ τοῦτο σπουδῆς τινὸς καὶ ἀποδοχῆς ἀξιούμενα, ταῦταʼ ὑπερβαίνοντας ὡς ταπεινά τε καὶ πρόσκαιρα, μηδενὶ τούτων προσαναλίσκειν τὴν ἐπιθυμητικὴν ἡμῶν δύναμιν, μήτε μὴν ἀργὴν καὶ ‡ἀκίνητον ἐν ἑαυτοῖς κατακλείσαντας ἔχειν, ἀλλ' ἐκκαθάραντας αὐτὴν ἀπὸ τῆς τῶν ταπεινῶν προσπαθείας, ἐκεῖ ἀνάγειν ὅπου οὐκ ἐφικνεῖται ἡ αἴσθησις· ὡς μήτε ‡ἀνθρώπου κάλλος θαυμάσαι, μήτε φωστήρων αὐγάς, μήτε ἄλλο τι τῶν φαινομένων καλῶν, ἀλλὰ διὰ τοῦ πᾶσι τούτοις ἐπιθεωρουμένου κάλλους χειραγωγεῖσθαι πρὸς τὴν ἐκείνου τοῦ κάλλους ἐπιθυμίαν, ἧς καὶ ‡οἱ οὐρανοὶ διηγοῦνται τὴν δόξαν ˋκαὶ στερέωμαʼ, καὶ πᾶσα ἡ κτίσις ἀναγγέλλει τὴν γνῶσιν.

οὕτω

†Vat. [illegible]

Ita est & in Vat. sed et in eo signo vi[illegible] ¶ Quare [illegible] da [illegible] lego manife[illegible]

* Vat. [illegible]

‡[illegible] ex coniect. nostra & Vat.

Inclusa addita sunt ex Vat.

‡Vat. [illegible]

‡Emenda [illegible] ex Vat. [illegible] manu ex obscura scribendi ratione.

‡Psal. 18. addidi ex Vat.

in diuidendo pulcro ac non pulcro. Itaq; homines ſtudio veri boni dereliĉto, partim in amorem corporum delapſi ſunt, partim ad inanimam pecuniarum materiam cupiditatem contulerunt, partim in honoribus ac gloria & ſatrapiis pulcrum ſtatuerunt · nec deſunt qui artibus ac ſcientiis obſtupuerint · alij, qui omniũ minimè liberales ſunt, gulam ac ventrem boni arbitros dixerũt. Ceterũ ſi abſtracta omni craſſa cogitatione, & ſtudio rerũ quæ appareant, ſimplicè illam atq; immaterialem, & figura expertem pulcri naturam ſuiſſent perſcrutati, nũquam in delectu amplectendarũ rerũ erraſſent, nec tam diuerſos fraus egiſſet, vt nec perſpecta voluptatis qua in iis inſit, breuitate, ad earũ rerum contemptũ adducerentur. Itaq; hac via ſit qua ad inuentionem pulcri graſſemur, vt reb. omnibus quæ hominũ ſtudia opinione quadam pulcri ad ſui amorem ac conſuetudinẽ prouocent, velut abſtractis ac temporariis, præteritis, in earũ nullam appetendi vim impendamus: nec vero inertem ac ſtupidam in nobis concluſam teneamus, ſed ab humilium rerum cupiditate expurgatam, transferamus, quo ſenſus non pertineat, vt nec cali pulcritudinem admiremur. nec luminaria ſplendorem, neque aliam rem vllam pulcram quæ ſub aſpectum ſubiecta ſit, ſed per pulcritudinem quæ in iis omnibus animaduertatur, ad illius amorem quaſi manuducamur, cuius & gloriam cali ac liquidum enarrent, & nottiam natura rerũ omnes prædicet.

οὕτω γὰρ διοίσεται ἡ ψυχή, καὶ πᾶν τὸ καταλαμβανόμενον ὡς *μικρότερον τοῦ ζητουμένου καταλιμπάνουσα, γένοιτο ἂν ἐν περινοίᾳ τῆς μεγαλοπρεπείας ἐκείνης, †τῆς ὑπεράνω τῶν οὐρανῶν ἐπηρμένης· ἀλλὰ πῶς ἄν τις τῶν ὑψηλῶν ἐφίκοιτο, περὶ τὰ ταπεινὰ τὴν σπουδὴν ἔχων; πῶς δ' ἄν τις πρὸς τὸν οὐρανὸν ‡ἀναπτῇ, μὴ πτερωθεὶς τῷ οὐρανίῳ πτερῷ, καὶ κοῦφος καὶ μετέωρος διὰ τῆς ὑψηλῆς πολιτείας γενόμενος, τίς §δὲ οὕτως ἔξω τῶν εὐαγγελικῶν μυστηρίων ἐστὶν, ὡς ἀγνοεῖν ὅτι ἓν ὄχημα τῇ ἀνθρωπίνῃ ψυχῇ τῆς ἐπὶ τοὺς οὐρανοὺς πορείας ἐστὶν, τὸ ‖τῷ εἴδει τῆς καταπτάσης περιστερᾶς ἑαυτὸν ὁμοιῶσαι, ἧς τὰς πτέρυγας γενέσθαι αὐτῷ καὶ ¶Δαβὶδ ὁ προφήτης ἐπόθησεν. οὕτω γὰρ ἐν αἰνίγματι τὴν τοῦ πνεύματος δύναμιν τῇ γραφῇ συνηθὲς ὀνομάζειν· εἴτε διότι χολῆς ἐστὶν ἄμοιρον τοῦτο τὸ ὄρνεον, ἢ ὅτι δυσωδίας ἐχθρὸν, καθώς φασιν οἱ τὰ τοιαῦτα παρατηρήσαντες. οὐκοῦν ὁ πάσης πικρίας καὶ σαρκικῆς δυσωδίας ἑαυτὸν ἀποστήσας, καὶ πάντων τῶν ταπεινῶν τε καὶ χαμαιζήλων ὑπεραρθεὶς, μᾶλλον δὲ παντὸς τοῦ κόσμου γεγονὼς *ὑψηλότερος ἐν τῷ προειρημένῳ πτερῷ, ἐκεῖνος εὑρήσει τὸ μόνον ἐπιθυμίας ἄξιον, καὶ γενήσεται) καὶ αὐτὸς καλὸς τῷ καλῷ προσπελάσας, καὶ ἐν αὐτῷ γεγονὼς λαμπρός τε καὶ φωτεινὸς ἐν τῇ μετουσίᾳ τοῦ ἀληθινοῦ φωτὸς καταστήσεται). ὥσπερ γὰρ ἐν νυκτὶ τὰς

21 ἀθρόας τοῦ ἀέρος ἐκλάμψεις, †ἅς τινες *διάττοντες καλοῦσιν ἀστέρας, οὐδὲν ἄλλο ‡φησὶν οἱ ταῦτα φιλοσοφήσαντες, ἢ ἀέρα εἶναι ὑπὸ βίας πνευμάτων τινῶν εἰς τὸν αἰθέριον τόπον ὑπερχεόμενον· λέγουσι γὰρ τὸν πυροειδῆ τοῦτον ‖ὁλκὸν ἐκφλογωθέντος ἐν τῷ αἰθέρι τοῦ πνεύματος, ¶τῷ οὐρανῷ ἐγχαράττεσθαι. ὥσπερ οὖν ὁ ἐπίγειος οὗτος ἀὴρ ἀνωθεὶς ὑπὸ τῆς βίας τοῦ πνεύματος,

*Vat. μικρό-τερον τοῦ ζητουμένου

†Psal. 8

‡Ἢ σπουδήν.

§Abest à Vat.

‖Luc. 3

¶Psal. 54.

*[illegible] in Vat. deſideratur.

†Vat. ἃς.

‡Emenda [illegible]

‖In Vat. deſideratur.

Vat. ἐκφλογωθέντα [illegible]

¶Vat. addit.

Ita enim animus aſcẽdens, & quicquid comprehenſum ſit velut inferius eo quod amquirat, relinquẽs, maieſtatem qua ſupra calos ſe ſuſtulerit, conſequetur. At qui poteſt ad res ſublimes pertingere, qui humilia conſectetur? aut in calum euolare, qui caleſti ala deſtitutus ſit, & ſublimis ac athereus ſublimi vita non effectus? Cedo autem quis tam expers eſt arcanorum Euangelij, qui ignoret vnum eſſe humanæ mentis vehiculum, quo in calum nitatur, vt ad imaginem columbæ delapſa ſe conformet? cuius alas ſibi contingere etiam Dauid ille vates exorat. Ita enim ſolenne eſt ſacris effatis obſcure Spiritus ſancti virtutem nominare: ſiue quòd ea auis felle careat, ſeu quòd pedoris inimica ſit, vt teſtantur qui id obſeruarunt. Quare qui acorem omnem ac corporis pedorem amolitur, & ſupra res omnes abiectas ac terrenas ſe ſuſtollat, atque adeo ea ala, quam diximus, mundum omnem trauiciat, ut naturam, qua ſola amplectenda ſit, inuenient, & cùm ipſe quoque pulcer efficiatur pulcra contagione, tum ab ea illuſtratus ac luce donatus, veniet in partem veræ lucis. Vt enim noctu ſubitum aeris ſplendorem, quas Trauicientes ſtellas quidam vocant, nihil aliud eſſe aiunt harum rerum venatores, quàm aerem in athereas plagas vi ventorum effuſum. Nam ignem hunc tractum, vento in athere inflammato, calo imprimi. Itaque velut aër hic terra citimus vi venti in lu-

ματος, φωτοειδὴς γίνεται), τῷ καθαρῷ τοῦ αἰθέρος ἐναλλοιούμενος. *ταύτῃ τε δὴ καὶ ὁ νοῦς ὁ ἀνθρώπινος καταλιπὼν τὸν θολερὸν τοῦτον καὶ †ἰλυώδη βίον, ἐπειδὰν καθαρὸς γενόμενος ἐν τῇ δυνάμει τοῦ πνεύματος, ‡φωτοειδὴς γένηται) καὶ ‖ἐμμιχθείη τῇ ἀληθινῇ τοῦ ὑψηλοῦ καθαρότητι, διαφαίνεταί πως ἑαυτῷ ἐν ἐκείνῃ, καὶ ἀκτίνων ἐμπίπλαται, καὶ φῶς γίνεται, κατὰ τὴν τοῦ κυρίου ὑπόσχεσιν, ὃς τοὺς δικαίους λάμψειν καθ' ὁμοιότητα τοῦ ἡλίου κατεπηγγείλατο. τοῦτο καὶ ἐπὶ τῆς γῆς ὁρῶμεν γινόμενον ἐπὶ κατόπτρου, ἢ ὕδατος, ἢ ἄλλου τινὸς τῶν ἀποστίλβειν διὰ λειότητα δυναμένων· ὅταν γάρ τι τούτων δέξηται τὴν τοῦ ἡλίου ἀκτῖνα, *ἄλλην ἀφ' ἑαυτοῦ ἀκτῖνα ποιεῖ· οὐκ ἂν ποιήσαντα, εἰ ῥύπῳ τινὶ τὸ καθαρὸν καὶ †στιλπνὸν τῆς ἐπιφανείας ἀχρειωθείη· εἴτε οὖν ἡμεῖς ἄνω ‡γινόμεθα, καταλιπόντες τὸ περίγειον σκότος, ἐκεῖ φωτοειδεῖς §γινόμεθα, τῷ ἀληθινῷ φωτὶ τοῦ Χριστοῦ ἐμπελάζοντες· εἴτε τὸ φῶς τὸ ἀληθινὸν τὸ καὶ ἐν τῇ σκοτίᾳ λάμπον καὶ μέχρις ἡμῶν καταβαίνῃ, καὶ ἡμεῖς φῶς ἐσόμεθα, καθώς φησί που τοῖς μαθηταῖς ὁ κύριος· εἰ μή τις κακίας ῥύπος τῇ καρδίᾳ προσπεπλασμένος τὴν χάριν τοῦ ἡμετέρου φωτὸς ἀμαυρώσειε. τάχα τοίνυν ἡμᾶς ἠρέμα διὰ τῶν ὑποδειγμάτων ὁ λόγος προσήγαγε τῇ ἐπινοίᾳ τῆς πρὸς τὸ κρεῖττον ἡμῶν ἀλλοιώσεως, καὶ ἐδείχθη μὴ δυνατὸν ἑτέρως εἶναι συναφθῆναι τὴν ψυχὴν τῷ ἀφθάρτῳ θεῷ, μὴ καὶ αὐτὴν ὡς οἷόν τε καθαρὰν γενομένην, διὰ τῆς ἀφθαρσίας· ὡς ἂν διὰ τοῦ ὁμοίου καταλάβῃ τὸ ὅμοιον· οἱονεὶ κάτοπτρον τῇ καθαρότητι τοῦ θεοῦ ἑαυτὴν ὑποθεῖσαν. *ὥστε κατὰ μετοχὴν †καὶ ἔμφασιν τοῦ πρωτοτύπου κάλλους ‡καὶ τὸ ἐν αὐτῇ μορφωθῆναι· εἰ §δὲ τις τοιοῦ-

* Var. [illegible]

† Var. [illegible]

Inclusa ad da a tamen ex Var.

‖ Var. [illegible]

Matth. 13

* addidi καὶ ex Var.

† Var. [illegible] corrupt.

‡ Emenda γινόμεθα ex Vat.

§ Emen. φωτοειδεῖς ex Var.

Iohan. 1

Matth. 5

* addidi ex Vat.

† addita [illegible] ex Var.

‡ Emen. [illegible] ex Vat.

in lucem ſe vertit, mutatione ab ęthere, qui liquidus ſit, oblata, Ita & animus humanus, relicta hac turbulenta ac cœnoſa vita, vt ſpiritus luſtratus, ac lucidus effectus, & cum vera illa ac ſublimi puritate permixtus, etiam ipſe in ea tralucet, ac radiis impletur, atque vt fert Domini promiſſum, qui iuſtos ſolis ritu micaturos promiſit, Lux efficitur. Idem in terra etiam videmus in ſpeculo, aut aqua, aut alia re vlla quę propter leuorem reſplendeat nam vbi vllum eorum ſolis radium accipiat, etiam alium de ſe dimittit: nunquam id pręſtiturum, ſi ſuperficies pura ac liquida ſordibus inquinetur. Quare ſeu in ſublimi verſemur, relictis terreſtribus tenebris, ibi iam lucidi efficiemur, verę Chriſti luci appropinquantes: ſeu lux illa vera, quę vel in tenebris lucet, ad nos deſcendat, etiam nos lux erimus, vt Dominus quodam loco diſcipulis ait: niſi ſi quę vitij ſordes in animo contracta gratiam omnem noſtrę lucis oblitterent. Sed iam fortaſſe exemplis ſenſim nos oratio ad intelligentiam mutationis noſtri in melius perduxit, & illud demonſtratum eſt, non poſſe animum cum incorrupto Deo aliter coniungi, niſi & ipſe depoſita omni corruptela, quam fieri poteſt, puriſſimus effectus, quò ſimile ſimili comprehendat: velut ſpeculum diuinę puritati ſe ſubiciat, vt commercio atq; illuſtratione pulcritudinis illius principis, etiam ea quę in eo inſit efformetur.

* addidi ex Vat.

τοιοῦτος ἐστὶν οἷος ἤδη πάντα καταλιπεῖν τὰ ἀνθρώπινα, *εἴτε σώματα, εἴτε χρήματα, εἴτε τὰ ἐν ἐπιστήμαις ἢ τέχναις ἐπιτηδεύματα, ἢ καὶ ὅσα ἐν ἔθεσι καὶ νόμοις δοξαία θεωρεῖται· περὶ τὰ τοιαῦτα γὰρ ἡ πλάνη τῆς τοῦ καλοῦ κατανοήσεως, ἐν οἷς ἡ αἴσθησις κριτήριον γίνεται· ὁ τοιοῦτος πρὸς ἐκεῖνο μόνον *ἐρωτικῶς τε καὶ ἐπιθυμητικῶς ἕξει, ὃ οὐχ ἑτέρωθεν ἔχει τὸ καλὸν *εἶναι, οὐδὲ *ποτε, ἢ πρός τι τοιοῦτον ἐστιν· ἀλλὰ ἐξ ἑαυτοῦ καὶ δι᾽ ἑαυτοῦ καλὸν, καὶ ἐν ἑαυτῷ τοιοῦτον καλὸν ὄν, καὶ *οὐχὶ πότε *καλὸν γινόμενον ἢ ποτὲ οὐκ ἐσόμενον, *ἀλλὰ *πάντοτε ὡσαύτως ἔχον, προσθήκης τε καὶ αὐξήσεως ὑπέρτερον, καὶ ἀνεπίδεκτον πάσης τροπῆς τε καὶ ἀλλοιώσεως· τῷ τοίνυν πάσας ἑαυτοῦ τὰς τῆς ψυχῆς δυνάμεις ἐκ παντὸς εἴδους κακίας ἀποκαθαρθέντι, τολμῶ καὶ λέγω ὅτι ἐμφανὲς γίνεται τὸ *μόνον *τῇ φύσει καλὸν, *ὅπερ ἐστὶ τοῦ παντὸς καλοῦ τε καὶ ἀγαθοῦ αἴτιον· καθάπερ γὰρ ὀφθαλμῷ τὴν λήμην ἀπορυψαμένῳ τὰ ἐν τῷ *αἰγίῳ τηλαυγῶς καθορᾶται· οὕτως καὶ τῇ ψυχῇ διὰ τῆς ἀφθαρσίας παραγίνεται ἡ 22 δύναμις †τῆς τοῦ φωτὸς ἐκείνου κατανοήσεως, καὶ ἡ ἀληθινὴ παρθενία, καὶ ἡ περὶ τὴν ἀφθαρσίαν σπουδὴ εἰς τοῦτον τὸν σκοπὸν καταλήγει, τὸ, δι᾽ αὐτῆς δυνηθῆναι τὸν θεὸν ἰδεῖν· ὅτι γὰρ τὸ κυρίως καὶ πρώτως καὶ μόνως καλόν τε *καὶ ἀγαθὸν *καὶ καθαρὸν ὁ τῶν ὅλων ἐστὶ θεός, οὐδεὶς οὕτω τυφλὸς τὴν διάνοιαν ὡς μὴ καὶ ἀφ᾽ ἑαυτοῦ συνιδεῖν.

* ἐρ. legi ex Vat.

* Vat. ἐ

* Vat. ἀεί

* absunt à Vat.

sic hoc abest à Vat.

** abest à Vat. Inclusa * de desiderantur in Vat.

Vat. καθορᾶται.

† Vat. legit ... καταν... σέως.

* addidi ex Vat.

Ὅτι ὁ ἑαυτὸν ἐκκαθάρας ἐν ἑαυτῷ τὸ θεῖον κάλλος κατόψεται· ἐν ᾧ καὶ περὶ τῆς τοῦ κακοῦ αἰτίας

ΚΕΦ. ΙΒ.

Ἀλλὰ

